# Ἀκολουθία
## τοῦ ἐν Ἁγίοις Πατρὸς Ἡμῶν
# Παρθενίου
## Ἐπισκόπου Λαμψάκου
## τοῦ Θαυματουργοῦ
## Ζ΄ ΦΕΒΡΟΥΑΡΙΟΥ

Ποίημα π. Γερασίμου Μικραγιαννανίτου

ΑΘΗΝΑΙ 2005

# ΦΕΒΡΟΥΑΡΙΟΥ Ζ΄
# ΜΝΗΜΗ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΠΑΡΘΕΝΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΛΑΜΨΑΚΟΥ ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Ἱστῶμεν στίχους δ΄. καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.

Πάτερ Παρθένιε φωτί, ἀρετῶν λαμπόμενος, παθῶν τὴν νύκτα ἐμείωσας, καὶ ποιμὴν ἔνθεος, τῆς Λαμψάκου ὤφθης, καὶ πολλοῖς ἐν θαύμασι, δαιμόνων τὴν ἰσχὺν κατηδάφισας, ἐξ ὧν ἀπάλλαξον, τῆς κακίας ταῖς πρεσβείαις σου, τοὺς τιμῶντας τὴν ἁγίαν μνήμην σου.

Πάτερ Παρθένιε κανών, βίου καθαρότητος, ἀπὸ παιδὸς ἐχρημάτισας· διὸ τοῦ Πνεύματος, τοῦ Ἁγίου χάρις, δαψιλῶς ἐνῴκησεν, ἐν σοὶ καὶ πανταχοῦ περιβόητον, σὲ ἀπειργάσατο, ὡς Θεοῦ θεῖον θεράποντα, καὶ θαυμάτων αὐτουργὸν περίδοξον.

Πάτερ Παρθένιε δεινά, πάθη ἐθεράπευσας, τῇ ἐνεργείᾳ τοῦ Πνεύματος, καὶ κατεπτόησας, τῶν δαιμόνων στίφη, ὡς τὴν θείαν δύναμιν, λαμπρῶς ἐνδεδυμένος θεσπέσιε· καὶ νῦν ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Πάτερ Παρθένιε Θεοῦ, ἔλεος μιμούμενος, ὡς ἀληθῶς χριστομίμητος, πολλοῖς ἐπήρκεσας, καὶ ἐλέους ὤφθης, ῥεῖθρον ἀνεξάντλητον, τοὺς πάσχοντας ποικίλως ἰώμενος· διὸ αἰτοῦμέν σε. Τὰς ψυχὰς ἡμῶν ἀπάλλαξον, δυναστείας, παθῶν τοῦ ἀλάστορος.

Δόξα. Ἦχος β΄.

Ταῖς ἀρεταῖς τὸν βίον κοσμήσας, τοῦ Εὐαγγελίου ἐργάτης ὤφθης δόκιμος, καὶ Ἱεράρχης ἐνθεώτατος, ἐν ἱερεῦσι Παρθένιε· καὶ τὸ δοθέν σοι τάλαντον αὐξήσας, θαύμασι πολλοὺς εὐηργέτησας, καὶ πονηρῶν πνευμάτων, κράτος καθεῖλες· διὸ φαιδρῶς ἑορτάζομεν, τὴν ἁγίαν μνήμην σου.

Καὶ νῦν. Ὁ αὐτός. Τῆς Ἑορτῆς.

Ὁ Κτίστης οὐρανοῦ καὶ γῆς, ἐν ἀγκάλαις ἐβαστάζετο, ὑπὸ Ἁγίου Συμεών, τοῦ πρεσβύτου σήμερον· αὐτὸς γὰρ ἐν Πνεύματι Ἁγίῳ ἔλεγε. Νῦν ἠλευθέρωμαι· εἶδον γὰρ τὸν Σωτῆρά μου.

Ἀπόστιχα.

Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Σκεῦος περιφανές, ἀπὸ παιδὸς ἐδείχθης, τοῦ Παρακλήτου Πάτερ, καὶ θεῖος Ἱεράρχης, τῆς Ἐκκλησίας Ὅσιε.

Στίχ. Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται.

Χρίσματι ἱερῷ, ποιμὴν Λαμψάκου ὤφθης, καὶ ἀρχιερωσύνης, Παρθένιε τὴν χλαῖναν, τοῖς θαύμασιν ἐλάμπρυνας.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Λόγῳ σου ἱερῷ, τοὺς δαίμονας διώκων, Παρθένιε παμμάκαρ, πολλοὺς ἐξ ἀνιάτων, παθῶν Πάτερ ἰάτρευσας.

Δόξα. Τριαδικόν.

Δύναμιν δαψιλῆ, Τρισήλιε Θεότης, ὡς ἄβυσσος ἐλέους, θαυμάτων παραδόξων, τῷ Παρθενίῳ δέδωκας.

Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε τῶν εὐσεβῶν, ἀντίληψις γλυκεῖα, Παρθένε Θεοτόκε, καὶ τῶν πεπονημένων, ἀναψυχὴ καὶ ἴασις.

Νῦν ἀπολύεις, τὸ τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ ἀπόλυσις.

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακόν, τὸ Μακάριος ἀνήρ. Εἰς δὲ Τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ΄. καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια:

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Τοῦ Ἑλλησπόντου τὸ κλέος ὁ τῆς Λαμψάκου φωστήρ, τῶν θαυματουργημάτων, ὁ λαμπρὸς ἑωσφόρος, Παρθένιος ὁ μέγας, πάντας ἡμᾶς, συγκαλεῖται τῇ μνήμῃ αὐτοῦ, ἑορτασμὸν ἐκτελέσαι πνευματικόν, ἀνυμνοῦντας τὸν Σωτῆρα Χριστόν.

Ἐκ νεαρᾶς ἡλικίας θεοφορούμενος, τὰ τῶν δαιμόνων στίφη, πυρὶ τῶν προσευχῶν σου, κατέφλεξας παμμάκαρ ἰθύνας σοφῶς, τῆς Λαμψάκου τὸ ποίμνιον· τοὺς γὰρ βωμοὺς τῶν εἰδώλων καταβαλών, ἐνεούργησας Θεῷ σεαυτόν.

Ἀνακηρύττει σου θαῦμα ὁ ἀνανήξας ἰχθύς, ὁ ἀναζήσας ἄπνους, ὁ καρπὸς τῆς ἀκάρπου, ἀρούρας καὶ ἀμπέλου βροχὴ ἱκανή, τῶν βαφῶν ἡ ἐπίτευξις. Ὡς θαυμαστά σου τὰ ἔργα Ἱερουργέ! ἀλλὰ πρέσβευε σωθῆναι ἡμᾶς.

Προσόμοια ἕτερα. Ἦχος β΄. Ποίοις εὐφημιῶν.

Ποίοις εὐφημιῶν στέμμασι, στεφανώσωμεν τὸν Ἱεράρχην; τὸ τοῦ Ἑλλησπόντου ἀγλάϊσμα, καὶ Λαμψάκου ἔνθεον πρόεδρον, τὸ τῆς ταπεινώσεως ταμεῖον· τὸν μέγαν, καὶ περιβόητον ἐν θαύμασι· τὸν στῦλον, τῶν ἀρετῶν τὸν οὐρανόφωτον, τὸν ζηλωτὴν καλῶν ἔργων, τὸ τῆς Ἐκκλησίας, ἐγκαλλώπισμα ἱερόν, τὸν θεῖον Παρθένιον, Ἀποστόλων τὸν ὁμότροπον.

Ποίοις ᾀσματικοῖς μέλεσιν, εὐφημήσωμεν τὸν Ἱεράρχην; τοῦ Χριστοῦ τὸν φίλον τὸν γνήσιον, καὶ θερμὸν ἐν πᾶσι θεράποντα, δι᾽ ἀκραιφνεστάτης πολιτείας· ἐλέους, τὸν θησαυρὸν τὸν ἀνεξάντλητον· θαυμάτων, τὸν ποταμὸν τὸν πολυχεύμονα· τῶν ἀσθενούντων τὴν ῥῶσιν, πονηρῶν πνευμάτων, τὸν διώκτην τὸν ἰσχυρόν, τὸν μέγαν Παρθένιον, εὐσεβῶν τὸν ἀντιλήπτορα.

Ποίοις πνευματικοῖς ᾄσμασιν, ἀνυμνήσωμέν σε Ἱεράρχα; σὺ γὰρ ἐκ νεότητος Ὅσιε, ὄργανον τῆς χάριτος πέφηνας, πληρωθεὶς τῆς θείας ἐνεργείας· ἐντεῦθεν, θαυματουργὸς ὤφθης περίδοξος, ποικίλων, παθῶν ἰώμενος τοὺς πάσχοντας, καὶ λόγῳ θείῳ ἐγείρας, τεθνεῶτας Πάτερ, ὡς τοῦ Πνεύματος θησαυρός, πρεσβεύεις Παρθένιε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα. Ἦχος πλ. β΄.

Ἀποστολικὴν ἐνδεδυμένος χάριν, τῇ καθαρᾷ σου ζωῇ, ποιμὴν ὅσιος καὶ ἄκακος, κατὰ Παῦλον τὸν μέγαν, τῆς Ἐκκλησίας ὤφθης, Ὅσιε Πάτερ Παρθένιε· τῶν οἰκείων γὰρ προβάτων, ὁ Σωτὴρ προμηθούμενος, θείων χαρίτων σε ἐνέπλησε, καὶ παραδόξων θαυμάτων, αὐτουργόν σε ἀνέδειξε· πᾶσι γὰρ παρέχεις σωτηριώδεις δόσεις, νόσους ἰώμενος, καὶ δαίμονας ἐλαύνων, καὶ τὸν θεῖον ἱλασμὸν ἡμῖν αἰτούμενος, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Ὁ αὐτός. Τῆς Ἑορτῆς.

Ἀνοιγέσθω ἡ πύλη τοῦ οὐρανοῦ σήμερον· ὁ γὰρ ἄναρχος Λόγος τοῦ Πατρός, ἀρχὴν λαβὼν χρονικήν, μὴ ἐκστὰς τῆς αὐτοῦ Θεότητος, ὑπὸ Παρθένου ὡς βρέφος τεσσαρακονθήμερον, Μητρὸς ἑκὼν προσφέρεται, ἐν ναῷ τῷ νομικῷ· καὶ τοῦτον ἀγκάλαις εἰσδέχεται ὁ Πρέσβυς· Ἀπόλυσον κράζων, ὁ δοῦλος τῷ Δεσπότῃ· οἱ γὰρ ὀφθαλμοί μου εἶδον τὸ σωτήριόν σου. Ὁ ἐλθὼν εἰς τὸν κόσμον, σῶσαι γένος ἀνθρώπων, Κύριε δόξα σοι.

Εἴσοδος, Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

(Κεφ. ι΄. 7. γ΄. 13)

Μνήμη δικαίου μετ' ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν· καὶ θνητός, ὃς εἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν· οὐκ ἀντιτάσσεται αὐτῇ οὐδὲν πονηρόν· εὔγνωστός ἐστι πᾶσι τοῖς ἐγγίζουσιν αὐτήν· πᾶν δὲ τίμιον, οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα, σεμνὰ γὰρ ἐρῶ· καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων· ὅτι ἐγὼ ἡ Σοφία κατεσκεύασα βουλὴν καὶ γνῶσιν καὶ ἔννοιαν, ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες, εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν, σεμνὰ γὰρ ἐρῶ· καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου· οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε Πνεύματος.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

(Κέφ. ι΄. 31)

Στόμα δικαίου ἀποστάζει σοφίαν, γλῶσσα δὲ ἀδίκου ἐξολεῖται. Χείλη ἀνδρῶν δικαίων ἐπίστανται χάριτας, στόμα δὲ ἀσεβῶν καταστρέφεται. Ζυγοὶ δόλιοι βδέλυγμα ἐνώπιον

Κυρίου, στάθμιον δὲ δίκαιον δεκτὸν αὐτῷ. Οὗ ἐὰν εἰσέλθῃ ὕβρις, ἐκεῖ καὶ ἀτιμία· στόμα δὲ ταπεινὸν μελετᾷ σοφίαν. Τελειότης εὐθέων ὁδηγήσει αὐτούς, καὶ ὑποσκελισμὸς ἀθετούντων προνομεύσει αὐτούς. Οὐκ ὠφελήσει ὑπάρχοντα ἐν ἡμέρᾳ θυμοῦ, δικαιοσύνη δὲ ῥύσεται ἀπὸ θανάτου. Ἀποθανὼν δίκαιος, ἔλιπε μετάμελον· πρόχειρος δὲ γίνεται καὶ ἐπίχαρτος ἀσεβῶν ἀπώλεια. Δικαιοσύνη ἀμώμου ὀρθοτομεῖ ὁδούς, ἀσέβεια δὲ περιπίπτει ἀδικίᾳ. Δικαιοσύνη ἀνδρῶν ὀρθῶν ῥύσεται αὐτούς, τῇ δὲ ἀβουλίᾳ ἁλίσκονται παράνομοι. Τελευτήσαντος ἀνδρὸς δικαίου, οὐκ ὄλλυται ἐλπίς· τὸ δὲ καύχημα τῶν ἀσεβῶν ὄλλυται. Δίκαιος ἐκ θήρας ἐκδύνει, ἀντ᾽ αὐτοῦ δὲ παραδίδοται ὁ ἀσεβής. Ἐν στόματι ἀσεβῶν παγὶς πολίταις, αἴσθησις δὲ δικαίων εὔοδος. Ἐν ἀγαθοῖς δικαίων κατώρθωται πόλις, καὶ ἐν ἀπωλείᾳ ἀσεβῶν ἀγαλλίαμα. Ἐν εὐλογίᾳ εὐθέων ὑψωθήσεται πόλις, στόματι δὲ ἀσεβῶν κατασκαφήσεται. Μυκτηρίζει πολίτας ἐνδεὴς φρενῶν, ἀνὴρ δὲ φρόνιμος ἡσυχίαν ἄγει.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

## (Κέφ. δ΄. 7)

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας, μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ, διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## Εἰς τὴν Λιτήν, Ἰδιόμελα.

### Ἦχος α΄.

Τὸν Ἱεράρχην τοῦ Χριστοῦ Παρθένιον, τὸν πρακτικῶς πολιτευσάμενον, καὶ τοῦ Παρακλήτου ὄργανον δειχθέντα, πᾶσα γλῶσσα τιμάτω· θεοπρεπῶς γὰρ ποιμάνας, τὸ ἐμπιστευθὲν αὐτῷ ποίμνιον, ἐνεργείαις θαυμάτων δεδόξασται, καὶ ἀδοξίας παθῶν ἐῤῥύσατο, τοὺς συσχεθέντας δεινοῖς· καὶ τῆς θείας ἀγάπης ἐκφαίνων τὸ κάλλος, ἀπαύστως πρεσβεύει, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

### Ἦχος β΄.

Ἀπὸ παιδὸς ἀνατεθεὶς Κυρίῳ, θείων ἔργων ἐπιδόσεσι, τῶν ὑπὲρ φύσιν ἠξίωσαι, δοξασθεὶς θείῳ Πνεύματι· καὶ τὴν θείαν στολὴν ἀμφιασάμενος, ὡς ὅλος θεόληπτος, μεσίτης Θεοῦ καὶ ἀνθρώπων ὤφθης, ὡς Ἱεράρχης θεοφόρος, Παρθένιε Ὅσιε· καὶ ἀγγελικῶς Θεῷ ἱερατεύσας, πλείστους αὐτῷ προσήγαγες, καὶ υἱοὺς φωτὸς ἔδειξας, τοὺς ἐν σκότει τῆς ἀπάτης· καὶ νῦν καθικέτευε, ὑπὲρ τῶν τιμώντων σε.

### Ἦχος γ΄.

Ὡς τοῦ Εὐαγγελίου μυσταγωγός, ἔργῳ καὶ λόγῳ, καὶ ἀπαθείας κειμήλιον, Ἱεράρχα Παρθένιε, πάθη ποικίλα ἰάτρευσας, τῇ δεδομένῃ σοι χάριτι· καὶ πνευμάτων ἀκαθάρτων θριαμβεύσας τὴν ἰσχύν, ἀκάρπους ἀρούρας εὐκάρπους ἔδειξας, τῇ ἐπομβρίᾳ τῶν λόγων σου· καὶ νεκροὺς ὡς ἐξ ὕπνου ἐγείρας, τῆς αἰωνίου ζωῆς, κληρονόμος γέγονας, ὡς Ἀποστόλων ὁμόζηλος· μεθ' ὧν πρέσβευε Ἅγιε, σώζεσθαι τοὺς σὲ γεραίροντας.

### Ἦχος δ΄.

Τῶν ἀρετῶν τῷ ἀρότρῳ, τὰς καρδίας τῶν πιστῶν γεηπονῶν, καρποφόρους ἔδειξας, ἐναρέτων πράξεων, Ἱεράρχα Παρθένιε· καὶ ἀμέμπτως Κυρίῳ ἱερουργῶν, τὴν τοῦ Θεοῦ εὐσπλαγχνίαν ὑπανοίγεις, καὶ πρὸς βίον ὑπέρτερον ἰθύνεις, καὶ μυστικῶς ἁγιάζεις ἐν χάριτι, ὡς ποιμὴν ἀληθινός· διὸ

χρεωστικῶς τιμῶντές σε βοῶμεν· πρέσβευε δεόμεθα, πταισμάτων διδόναι ἡμῖν ἄφεσιν, Ὅσιε Πάτερ, Ἀρχιερέων καύχημα.

Ἦχος πλ. α΄.

Ὅσιε Πάτερ, Ἱεράρχα Παρθένιε, ταῖς πρακτικαῖς ἀρεταῖς, πρὸς θεωρίας ἤρθης ὕψος, καὶ πλουσίων δωρεῶν, παρὰ Θεοῦ ἠξιώθης· ὅλον γὰρ τὸν βίον, ἐν θαύμασι διῆλθες, τοὺς νοσοῦντας ἰώμενος, τοὺς θλιβομένους παραμυθούμενος, καὶ πάντας εὐεργετῶν, ὡς πατὴρ φιλόστοργος. Καὶ νῦν τῷ θρόνῳ τῆς Τριάδος παρεστώς, ἀπαύστως ἱκέτευε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος πλ. β΄.

Ἀρχιερέων καλλονή, ἀληθῶς ἐδείχθης, Ἱεράρχα Παρθένιε· βίῳ γὰρ ἐμπρέπων πρακτικῷ, τῷ φωτὶ τῶν ἀρετῶν, τῆς ἐν Χριστῷ ζωῆς κηρύττεις τὸ κάλλος, καὶ πάντας ἰθύνεις, πρὸς κτῆσιν τῶν ἀρίστων· καὶ θαυμάτων δυνάμεις ἐνεργῶν, τῶν θείων ἐπαγγελιῶν βεβαιοῖς τὸν λόγον, ὡς τοῦ Χριστοῦ μαθητής. Ἀλλὰ πρέσβευε Ἅγιε, ὑπὲρ τῶν τιμώντων σε.

Ἦχος βαρύς.

Τοῦ Παρακλήτου τῇ δωρεᾷ, θησαυρὸς θείων χαρίτων, τῇ καθαρᾷ σου ζωῇ, ὤφθης Ὅσιε Πάτερ· Ἀποστολικοῖς γὰρ ἑπόμενος ἴχνεσι, τῆς εὐσεβείας μυσταγωγεῖς τὴν λαμπρότητα, ταπεινώσει κοσμούμενος, καὶ ἀπλάστοις τρόποις, καὶ ἀπόροις ἐπαρκῶν· καὶ θαύμασιν εὐεργετῶν, πρεσβεύεις Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Ἦχος πλ. δ΄.

Ἐνδεδυμένος τὸν Χριστόν, Ἱεράρχα Παρθένιε, φοβερὸς ἐδείχθης, κατὰ πνευμάτων ἀκαθάρτων μακάριε, ἐν τῇ δοθείσῃ σοι παρ' αὐτοῦ ἐξουσίᾳ· καὶ αὐτὰ ἐκβάλλων τῷ λόγῳ, πᾶσαν νόσον ἰάτρευσας, καὶ τοῖς ποικίλοις πάσχουσιν, ὑγείαν καὶ ῥῶσιν, συμπαθῶς ἐχορήγησας· πανταχοῦ γὰρ διέδραμεν, ὁ φθόγγος τῶν θαυμάτων σου, καὶ πάντες δοξάζουσι Χριστόν, τὸν σὲ λαμπρῶς θαυμαστώσαντα.

Καὶ νῦν. Ἦχος β΄. Τῆς Ἑορτῆς.

Τὸν Ἱερὸν ἡ ἱερὰ Παρθένος προσεκόμισεν, ἐν Ἱερῷ τῷ ἱερεῖ· ἁπλώσας δὲ ἀγκάλας ὁ Συμεών, ἐδέξατο τοῦτον ἀγαλλόμενος, καὶ ἐβόησε· Νῦν ἀπολύεις τὸν δοῦλόν σου Δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ.

Εἰς τὸν Στίχον Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις ὁ τῆς Λαμψάκου φωστήρ, ὁ καταυγάζων οἰκουμένης τὰ πέρατα, ἀκτῖσι τῶν σῶν θαυμάτων, καὶ ἀρετῶν τῷ φωτί, ὡς Θεοῦ θεράπων ἐνθεώτατος, Παρθένιε Ὅσιε, ἀπαθείας θησαύρισμα, ἠθῶν ὁσίων, καθαρώτατον σκήνωμα, ταπεινώσεως, τὸ περίβλεπτον ὕψωμα· ὄργανον τὸ θεόπνευστον, χαρίτων τοῦ Πνεύματος, διαγωγῆς ἐναρέτου, ὑφηγητὴς πρακτικώτατος· Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Οἱ ἱερεῖς σου Κύριε, ἐνδύσονται δικαιοσύνην, καὶ οἱ Ὅσιοί σου ἀγαλλιάσονται.

Ὅλος ἀπὸ παιδὸς τῷ Θεῷ, ἀνατεθεὶς ὡς Σαμουὴλ ὁ θεσπέσιος, καὶ βίῳ καθηγνισμένῳ, ἱερωσύνης στολήν, ἐκληρώσω Πάτερ θείῳ Πνεύματι· ἐντεῦθεν ἐποίμανας, τοῦ Κυρίου τὸ Ποίμνιον, πράξεσι θείαις, καὶ ποικίλοις ἐν θαύμασι, πρὸς σωτήριον, ὁδηγῶν τρίβον ἅπαντας· λύχνος γὰρ παμφαέστατος, ἐδείχθης Παρθένιε, πᾶσι λαμπρῶς ὑπεκφαίνων, ζωῆς ἀμέμπτου τὴν ἔλλαμψιν. Καὶ νῦν ἐκδυσώπει, τοῖς τιμῶσί σε δοθῆναι, τὸ θεῖον ἔλεος.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Ἄνθραξ τοῦ Παρακλήτου ὀφθείς, τῇ ἐναρέτῳ πολιτείᾳ σου Ὅσιε, κατέφλεξας τῶν δαιμόνων, καθάπερ ὕλην σαθράν, τὴν κακίαν Πάτερ καὶ τὰ ἔνεδρα· καὶ λόγῳ τῆς χάριτος, ἀσθενοῦντας ἰάτρευσας, καὶ παρειμένοις, ἐδωρήσω τὴν ἴασιν, θαυμαζόμενος, τοῖς μεγίστοις σου θαύμασι· χάρις πλου-

σιωτάτη γάρ, ἐδόθη σοι ἄνωθεν, ἐξ ἧς κἀμοὶ δὸς ῥανίδα, πρὸς θεραπείαν τῶν πόνων μου, Χριστὸν ἱκετεύων, ὑπὲρ πάντων τῶν τελούντων, τὴν θείαν μνήμην σου.

Δόξα. Ἦχος πλ. δ΄.

Τῶν ἀρετῶν σου τῷ φωτί, τὴν ἁγίαν σου στολήν, ἐπὶ πλεῖον ἐλάμπρυνας, Ἱεράρχα Παρθένιε· ἐν νυκτὶ γὰρ καὶ ἡμέρᾳ, τῷ θείῳ νόμῳ ἐμμελετήσας, ζωῆς καρποὺς ἐξήνεγκας, καὶ θαυμάτων παραδόξων τὰς δυνάμεις, ἐν Ἁγίῳ Πνεύματι. Καὶ νῦν Χριστῷ ἱερουργῶν, σὺν ἀΰλοις λειτουργοῖς ἀΰλως, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Ὁ αὐτός. Τῆς Ἑορτῆς.

Ὁ τοῖς Χερουβὶμ ἐποχούμενος, καὶ ὑμνούμενος ὑπὸ τῶν Σεραφίμ, σήμερον τῷ θείῳ Ἱερῷ, κατὰ νόμον προσφερόμενος, πρεσβυτικαῖς ἐνθρονίζεται ἀγκάλαις· καὶ ὑπὸ Ἰωσὴφ εἰσδέχεται δῶρα θεοπρεπῶς, ὡς ζεῦγος τρυγόνων, τὴν ἀμίαντον Ἐκκλησίαν, καὶ τῶν ἐθνῶν τὸν νεόλεκτον λαόν· περιστερῶν δὲ δύο νεοσσούς, ὡς ἀρχηγὸς Παλαιᾶς τε καὶ Καινῆς. Τοῦ πρὸς αὐτὸν χρησμοῦ δὲ Συμεών, τὸ πέρας δεξάμενος, εὐλογῶν τὴν Παρθένον, Θεοτόκον Μαρίαν, τὰ τοῦ πάθους σύμβολα, τοῦ ἐξ αὐτῆς προηγόρευσε· καὶ παρ᾽ αὐτοῦ ἐξαιτεῖται τὴν ἀπόλυσιν βοῶν· Νῦν ἀπολύεις με Δέσποτα, καθὼς προεπηγγείλω μοι· ὅτι εἶδόν σε τὸ προαιώνιον φῶς, καὶ Σωτῆρα Κύριον, τοῦ Χριστωνύμου λαοῦ.

Νῦν ἀπολύεις, τὸ τρισάγιον, καὶ τὰ Ἀπολυτίκια.

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Ἑλλησπόντου τὸ κλέος καὶ Λαμψάκου τὸν πρόεδρον, Παρθένιον τὸν μέγαν Ἱεράρχην τιμήσωμεν· θαυμάτων γὰρ πηγάζει δωρεάς, καὶ παύει ἀσθενείας χαλεπάς, καὶ καρκίνου ἀπαλλάττει τῆς συνοχῆς, τοὺς εὐλαβῶς κραυγάζοντας· δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ, πᾶσιν ἰάματα.

Δόξα. Ἕτερον. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Τῷ μύρῳ τοῦ Πνεύματος, ποιμὴν Λαμψάκου ὀφθείς, τὴν θείαν ἐνέργειαν, παρὰ Θεοῦ δαψιλῶς, θαυμάτων ἐπλούτησας, δαίμονας ἀπελαύνειν, ἀσθενοῦντας ἰᾶσθαι, νόσους ἀποδιώκειν, καὶ πληροῦν τὰς αἰτήσεις, Παρθένιε Ἱεράρχα, τῶν προσιόντων σοι.

Καὶ νῦν. Τὸ τῆς Ἑορτῆς. Ἦχος α΄.

Χαῖρε Κεχαριτωμένη Θεοτόκε Παρθένε· ἐκ σοῦ ἀνέτειλεν ὁ Ἥλιος τῆς δικαιοσύνης, Χριστὸς ὁ Θεὸς ἡμῶν, φωτίζων τοὺς ἐν σκότει. Εὐφραίνου καὶ σὺ Πρεσβῦτα δίκαιε δεξάμενος ἐν ἀγκάλαις, τὸν ἐλευθερωτὴν τῶν ψυχῶν ἡμῶν, χαριζόμενον ἡμῖν καὶ τὴν ἀνάστασιν.

Ἀπόλυσις.



# ЄΙC ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄. Στιχολογίαν, Κάθισμα.

Ἦχος α΄. Χορὸς Ἀγγελικός.

Ὡς ἥλιος λαμπρός, τῶν θαυμάτων ἀκτῖσι, πυρσεύεις πᾶσαν γῆν, καὶ δαιμόνων τὸ σκότος, διώκεις τὸ βαθύτατον, Ἱεράρχα Παρθένιε. Ὅθεν σήμερον, τὴν φωτοφόρον σου μνήμην, ἑορτάζοντες, Χριστὸν ἀπαύστως ὑμνοῦμεν, τὸν σὲ θαυμαστώσαντα.

Καὶ τὸ τῆς Ἑορτῆς, ὅμοιον.

Χορὸς Ἀγγελικός, ἐκπληττέσθω τὸ θαῦμα· βροτοὶ δὲ ταῖς φωναῖς, ἀνακράξωμεν ὕμνον, ὁρῶντες τὴν ἄφατον, τοῦ Θεοῦ συγκατάβασιν· ὃν γὰρ τρέμουσι, τῶν οὐρανῶν αἱ Δυνάμεις, γηραλέαι νῦν, ἐναγκαλίζονται χεῖρες, τὸν μόνον φιλάνθρωπον.

Μετὰ τὴν β΄. Στιχολογίαν, Κάθισμα.

Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Ποιμὴν θεοειδής, τῆς Λαμψάκου ἐδείχθης, καὶ ἔσωσας πολλούς, ἐκ παθῶν ἀνιάτων, καὶ δαίμονας ἀπήλασας, καὶ χαρᾶς πολλῆς ἔπλησας, τοὺς προστρέχοντας, τῇ προστασίᾳ σου Πάτερ· διὸ δέομαι· ῥῦσαι κἀμοῦ τὴν καρδίαν, ἐκ πάσης φαυλότητος.

Τῆς Ἑορτῆς, ὅμοιον.

Ὁ ὢν σὺν τῷ Πατρί, ἐπὶ θρόνου ἁγίου, ἐλθὼν ἐπὶ τῆς γῆς, ἐκ Παρθένου ἐτέχθη, καὶ βρέφος ἐγένετο, χρόνοις ὢν

ἀπερίγραπτος· ὃν δεξάμενος, ὁ Συμεὼν ἐν ἀγκάλαις, χαίρων ἔλεγε· Νῦν ἀπολύεις Οἰκτίρμον, εὐφράνας τὸν δοῦλόν σου.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.

Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Ὡς ποιμὴν ἀληθινός, καὶ Ἱεράρχης ἱερός, καθωδήγησας σαφῶς, ἐπὶ λειμῶνας τῆς ζωῆς, τὴν λογικήν σου ποίμνην Πάτερ Παρθένιε, καὶ νόσων τὴν ἀχλύν, πόῤῥω ἀπήλασας, καὶ πᾶσαν τὴν ἰσχύν, δαιμόνων ἔλυσας, καὶ ἐκ τῆς πλάνης πολλοὺς ἠλευθέρωσας, διδασκαλίαις σου Ὅσιε· διὸ πλουσίας, ἀντιμισθίας, παρὰ Κυρίου ἠξίωσαι.

Τῆς Ἑορτῆς, ὅμοιον.

Νηπιάζει δι' ἐμέ, ὁ παλαιὸς τῶν ἡμερῶν· καθαρσίων κοινωνεῖ, ὁ καθαρώτατος Θεός, ἵνα τὴν σάρκα πιστώσῃ μου τὴν ἐκ Παρθένου. Καὶ ταῦτα Συμεών, μυσταγωγούμενος, ἐπέγνω τὸν αὐτόν, Θεὸν φανέντα σαρκί· καὶ ὡς ζωὴν ἠσπάζετο καὶ χαίρων, πρεσβυτικῶς ἀνεκραύγαζεν· Ἀπόλυσόν με· σὲ γὰρ κατεῖδον, τὴν ζωὴν τῶν ἁπάντων.

Τὸ α΄. ἀντίφωνον τοῦ δ΄. ἤχου καὶ τὸ Προκείμενον.

Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Ἰωάννην. (ι΄ 9-16)

Ὁ Ν΄. Ψαλμός.

Δόξα. Ταῖς τοῦ Ἱεράρχου...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β΄.

Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου...

Ἀγγελικὴν ἐπαγόμενος ζωήν, ποιμαντικῶς τῷ κόσμῳ διέπρεψας, ὡς τοῦ Χριστοῦ θεράπων, Ἱεράρχα Παρθένιε· καὶ καλῶς διαγαγών, τὴν σοὶ δοθεῖσαν ἐξουσίαν, τῆς ἄνω

βασιλείας τὸ δηνάριον εἴληφας, καὶ τῷ ξύλῳ τῆς ζωῆς ἀποκατέστης. Αὐτῆς καὶ ἡμᾶς ἀξίωσον, ταῖς πρὸς Θεὸν πρεσβείαις σου Ἅγιε.

Ὁ Ἱερεύς. Σῶσον ὁ Θεὸς τὸν λαόν σου...

Εἶτα οἱ κανόνες, τῆς Ἑορτῆς ἐκ τοῦ Μηναίου καὶ τοῦ Ἁγίου οἱ δύο. Κανὼν πρῶτος τοῦ Ἁγίου οὗ ἡ ἀκροστιχίς.

«Παρθενίῳ μέλισμα τῷ θεοφόρῳ. Γερασίμου».

ᾨδὴ α΄. Ἦχος γ΄. Χέρσον ἀβυσσοτόκον.

Πάσης ἀποκαθάρας τὸν νοῦν σχέσεως, τῶν γηΐνων καὶ φθαρτῶν, φωταυγὲς δοχεῖον ὤφθης, τρισηλίου ἀκτῖνος, δι᾽ ἧς κἀμοῦ τὸν ζόφον λῦσον, ὑμνῆσαί σε Παρθένιε· σὺ γὰρ τῷ πάντων Κτίστῃ, ἀμέμπτως ἱεράτευσας.

Ἄνωθεν δεδεγμένος χάριν ἔνθεον, ὡς θεράπων τοῦ Θεοῦ, ποταμὸς θαυμάτων ὤφθης, καταρδεύων ἀΰλως, πιστῶν τὰς διανοίας Πάτερ, τοῖς ῥείθροις τῶν χαρίτων σου· ὅθεν σε ἀνυμνοῦμεν, Παρθένιε μακάριε.

Ῥήσεσι τῶν χειλέων σου Παρθένιε, τῶν δαιμόνων ὁ ἑσμός, ὡς ξηρὰ καλάμη Πάτερ, κατεκαύθη εἰς τέλος ἰσχὺν γὰρ κατ᾽ αὐτῶν καὶ κράτος, παρὰ Κυρίου εἴληφας· ὅθεν τῆς τούτων λύμης, πλείστους ἀνθρώπους ἔσωσας.

Θεοτοκίον.

Θρόνος Θεοῦ Ἁγνὴ τοῦ Παντοκράτορος, καὶ καθέδρα παμφαής, ἀνεδείχθης Θεοτόκε, ἐν ἀγκάλαις κρατοῦσα, ὡς βρέφος τὸν ἐκ μὴ ὄντων πάντα, τῷ λόγῳ ὑποστήσαντα· ὅθεν ἐκ τῶν χειρῶν με, τοῦ δυσμενοῦς ἀπάλλαξον.

Κανὼν δεύτερος οὗ ἡ ἀκροστιχίς.

«Τῷ τῆς Λαμψάκου ποιμένι αἶνος. Γερασίμου».

Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

Τὴν χάριν τοῦ Πνεύματος, κἀμοὶ δοθῆναι ἱκέτευε, πλουσίως ἣν εἴληφας, Πάτερ Παρθένιε, ἵνα μέλψω σου, τὰς ἀρετὰς τοῦ βίου, καὶ θαυμάτων Ὅσιε, τὰ ἐνεργήματα.

Ωράθης θεόληπτος, ἀπὸ νεότητος Ὅσιε· διὸ ἡ τοῦ Πνεύματος, ἐπανεπαύσατο, χάρις ἄνωθεν, τῇ καθαρᾷ ψυχῇ σου, καὶ θείων δυνάμεων, Πάτερ σε ἔπλησε.

Τὴν θείαν ἐνέργειαν, θαυμάτων Πάτερ δεξάμενος, ὡς σκεῦος ἐπάξιον, τῆς θείας χάριτος, νόσους ἤλασας, καὶ δαίμονας διώκεις, παμμάκαρ Παρθένιε, θείαις ἐντεύξεσι.

Θεοτοκίον.

Η πύλη ἡ πάμφωτος, καὶ κεκλεισμένη ἐν Πνεύματι, ἣν μόνος διώδευσε, Χριστὸς ὁ Κύριος, καὶ κατέλιπεν, ὡς πρὶν ἐσφραγισμένην, Παρθένος ἡ Πάναγνος, ὑμνολογείσθω μοι.

Καταβασία.

«Χέρσον ἀβυσσοτόκον πέδον ἥλιος, ἐπεπόλευσε ποτέ· »ὡσεὶ τεῖχος γὰρ ἐπάγη, ἑκατέρωθεν ὕδωρ, λαῷ »πεζοποντοποροῦντι, καὶ θεαρέστως μέλποντι. Ἄσωμεν τῷ »Κυρίῳ· ἐνδόξως γὰρ δεδόξασται».

ᾨδὴ γ΄. Ὁ ἐκ μὴ ὄντων.

Εν Ἱεράρχαις ἐδείχθης περιφανής, καὶ ποιμὴν θεόληπτος, τῆς Λαμψάκου Παρθένιε, καὶ θαυμάτων πέλαγος, τοῦ Παρακλήτου τῇ θείᾳ δυναστείᾳ.

Νόσων λυτροῦσα τῷ λόγῳ ὀδυνηρῶν, καὶ πάθος ἰάτρευσας, τοῦ καρκίνου τὸ κάκιστον· μέγας γὰρ ἐν θαύμασιν, ἀνεδείχθης τῷ κόσμῳ Ἱεράρχα.

Ιερατεύων ἀμέμπτως τῷ Ποιητῇ, πιστῶν καταφύγιον, καὶ πασχόντων παράκλησις, Ὅσιε Παρθένιε, ὡς ἀληθὴς ποιμενάρχης ἀνεδείχθης.

Θεοτοκίον.

Ως πλατυτέρα Παρθένε τῶν οὐρανῶν, Θεὸν τὸν ἀχώρητον, ἐν κοιλίᾳ ἐχώρησας· ὅθεν κἀμὲ λύτρωσαι, στενοχωρίας παθῶν τῶν συνθλιβόντων.

Δεύτερος. Τοὺς σοὺς ὑμνολόγους.

Σαφῶς ἐγνωκὼς τὴν βιοτήν σου, ὁ θεῖος Παμμάκαρ Φιλητός, πρεσβύτερόν σε ἔχρισε, τῇ χάριτι τοῦ Πνεύματος, Παρθένιε καὶ πέφηνας, ἐν ἱερεῦσιν ἐπάξιος.

Λαμπόμενος θείᾳ φωταυγείᾳ, ἰάσω σοφὲ τὸν ὀφθαλμόν, ὃν ταῦρος ἐξωρύξατο, καὶ ὑγιῆ κατέστησας, τὸν ἄνθρωπον κηρύττοντα, πᾶσι τὴν χάριν σου Ἅγιε.

Ἁγίων τὸν ζῆλον Ἀποστόλων, μιμούμενος Πάτερ ἀληθῶς, Εὐαγγελίου γέγονας, ἐργάτης πρακτικώτατος, καὶ ἅπασι Παρθένιε, τύπος ζωῆς καὶ ὑπόδειγμα.

Θεοτοκίον.

Μαρίαν τὴν μόνην Θεοτόκον, ὑμνήσωμεν ἅπαντες πιστῶς· ὅτι ἡμᾶς ἐῤῥύσατο, τῆς πάλαι κατακρίσεως, ὡς τὸν Χριστὸν κυήσασα, τὸν τὴν ἀρὰν ἀφανίσαντα.

Καταβασία.

«Τὸ στερέωμα, τῶν ἐπὶ σοὶ πεποιθότων, στερέωσον »Κύριε τὴν Ἐκκλησίαν, ἣν ἐκτήσω, τῷ τιμίῳ σου αἵματι».

Κάθισμα. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Τῆς Λαμψάκου ὁ μέγας θαυματουργός, ἀναβὰς ἐν τῷ ὕψει τῶν ἀρετῶν, ἀστράπτεις τοῖς πέρασι, τῷ φωτὶ τῶν ἰάσεων, τοὺς ζοφώδεις δαίμονας, σκορπίζων σφοδρότατα, καὶ ἐλαύνων νόσους, χρησταῖς ἐπικλήσεσιν· ὅθεν καὶ τῆς πλάνης, τῶν εἰδώλων καθάρας, πάντα τὸν Ἑλλήσποντον, καταλάμπεις τοῖς θαύμασι, θεοφόρε Παρθένιε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Δόξα. Καὶ νῦν.

Τῆς Ἑορτῆς. Ἦχος ὁ αὐτός. Ἀνέστης ἐκ νεκρῶν.

Ἐτέχθης ἐκ Μητρός, ὁ προάναρχος Λόγος, προσήχθης τῷ ναῷ, ὁ ἀκατάληπτος φύσει· χαίρων δὲ ὁ Πρεσβύτης, ἐν ταῖς ἀγκάλαις σὲ ὑπεδέξατο, κράζων. Νῦν ἀπολύεις, ὃν ἐπε-

σκέψω κατὰ τὸ ῥῆμά σου, ὁ εὐδοκήσας σῶσαι ὡς Θεός, τὸ γένος τῶν ἀνθρώπων.

Ὠδὴ δ΄. Ἐκάλυψεν οὐρανούς.

Μεμύησαι τοῦ Χριστοῦ, τοὺς οἰκτιρμοὺς ἀληθῶς· ἔνθεν τοὺς πάντας ἐλεεῖς, τοὺς πάσχοντας οἰκτείρων, καὶ ἰᾶσαι ψυχῶν, καὶ τῶν σωμάτων τραύματα, οἷάπερ θεῖος Ἱεράρχης Ὅσιε· διό σε πάντες συμφώνως Πάτερ γεραίρομεν.

Ἐκλάμψας ταῖς ἀρεταῖς, ὡς τῶν φθαρτῶν ξενωθείς, ταῖς τῶν θαυμάτων ἀστραπαῖς, Ἑλλήσποντον πυρσεύεις, καὶ διώκεις παθῶν, σκότος τὸ βαθύτατον, πᾶσι δὲ νέμεις χάριν τε καὶ ἔλεος, Ἀρχιεράρχα Κυρίου Πάτερ Παρθένιε.

Λαμπρύνεις τοὺς εὐσεβεῖς, τῇ καθαρᾷ σου ζωῇ, καὶ τὸν ὡς κύνα κατὰ σοῦ, ὁρμήσαντα λυττῶντα, παλαμναῖον ἐχθρόν, καθεῖλες Πάτερ Ὅσιε, τῇ σῇ πλουσίᾳ χάριτι Παρθένιε· οὗ τῆς κακίας ἀτρώτους ἡμᾶς διάσωζε.

Θεοτοκίον.

Ἰάσω τὴν συντριβήν, τῶν Προπατόρων Ἁγνή, τὸν ἀνορθώσαντα ἡμᾶς, τεκοῦσα Θεὸν Λόγον· τῶν Προφητῶν γὰρ αἱ φωναί, συμβολικῶς προήγγειλαν, τοῦ τοκετοῦ σου τὸ φρικτὸν μυστήριον, ὃ προσκυνοῦντες Παρθένε σὲ μακαρίζομεν.

Δεύτερος. Τὴν ἀνεξιχνίαστον.

Ψάλλουσα ἀνύμνησε τὸν Θεόν, Πάτερ ἡ γυνὴ ἣ ἐντεύξει σου, ἐθεραπεύθη, ἐκ καρκίνου τοῦ δεινοῦ, οὗ τῆς φθορᾶς Παρθένιε, ῥῦσαι τοὺς πιστῶς εὐφημοῦντάς σε.

Ἄνω τὸ πολίτευμα ἐν οὐρανοῖς, ἔχοντα Παρθένιε Ὅσιε, σὲ κατηδέσθη, καὶ μὴ θέλων ὁ ἐχθρός, καὶ πόῤῥω ἐκ σοῦ γέγονε, φρίξας τὴν ἐν σοὶ θείαν δύναμιν.

Κύων ὥσπερ ἄγριος ὁ δυσμενής, κατὰ σοῦ ὁρμήσας Παρθένιε, ἀπενεκρώθη, ἐμφυσήματι τῷ σῷ, καὶ ἅπαντες ἐδόξασαν, Πάτερ τὸν λαμπρῶς σε δοξάσαντα.

Θεοτοκίον.

Όρος σε κατάσκιον ταῖς ἀρεταῖς, πάλαι Ἀββακοὺμ προεώρακε, Θεογεννῆτορ· ἐκ σοῦ ὤφθη γὰρ ἡμῖν, ὁ Κύριος καὶ ὕψωσε, φύσιν τῶν βροτῶν πρὸς οὐράνια.

Καταβασία.

«Ἐκάλυψεν οὐρανούς, ἡ ἀρετή σου Χριστέ, τῆς κιβωτοῦ »γὰρ προελθών, τοῦ ἁγιάσματός σου, τῆς ἀφθόρου »Μητρός, ἐν τῷ ναῷ τῆς δόξης σου, ὤφθης ὡς βρέφος, »ἀγκαλοφορούμενος· καὶ ἐπληρώθη τὰ πάντα τῆς σῆς αἰνέσεως».

Ὠδὴ ε΄. Ὡς εἶδεν Ἡσαΐας.

Σοφίᾳ οὐρανίῳ ἀγλαϊσθείς, καὶ τῇ τῶν θαυμάτων δωρεᾷ, τὸν ὀφθαλμὸν ἰάσω χειρί σου Ἅγιε, ὃν ταῦρος φορᾷ χαλεπῇ, ἐλυμήνατο καὶ ᾔνεσε Θεόν, Παρθένιε Πάτερ, ὁ τυχὼν τῆς ἰάσεως.

Μεγίστων θαυμασίων ὢν αὐτουργός, θεῖος τῆς Λαμψάκου ὤφθης ποιμήν, χειρὶ Ἀσχολίου βουλῇ τῇ κρείττονι, καὶ ταύτην ποιμάνας καλῶς, ἐπαξίως τὸν μισθὸν παρὰ Θεοῦ, Παρθένιε Πάτερ, ἐκομίσω γηθόμενος.

Ἀπάτης τῶν εἰδώλων τῆς χαλεπῆς, ἐῤῥύσω ταῖς θείαις διδαχαῖς, τὴν σὴν ποίμνην Πάτερ καὶ θείοις θαύμασι, δαιμόνων τε ῥήξας βωμούς, Ἐκκλησίας ἐδομήσω εἰς Χριστοῦ, Παρθένιε δόξαν, καὶ πιστῶν περιποίησιν.

Θεοτοκίον.

Τὸν πάντων τετοκυῖα Κόρη Θεόν, καὶ μείνασα παρθένος. Ἁγνή, μετὰ τόκον Κόρη τὸν ἀνερμήνευτον, ἁγνόν με ψυχῇ καὶ νοΐ, πολεμούμενον δεινῶς ἐκ τοῦ ἐχθροῦ, συντήρει Παρθένε, καὶ σῶσόν με δέομαι.

Δεύτερος. Ἐξέστη τὰ σύμπαντα.

Ὑψώθης Παρθένιε, ταῖς ἀρεταῖς πρὸς Κύριον, καὶ ἀρχιερεὺς θεῖος ἐδείχθης· τῇ εὐδοκίᾳ γὰρ τῇ τοῦ κρείττονος, ὁ Κυζίκου ἅγιος ποιμήν, τῆς Λαμψάκου πρόεδρον, ἀληθῶς σε ἀνέδειξε.

Ποιμὴν ἐνθεώτατος, Λαμψάκου ὤφθης Ἅγιε, καὶ διδασκαλίαις σου ἁγίαις, τῆς τῶν εἰδώλων πλάνης ἀπήλλαξας, καὶ υἱοὺς ἀνέδειξας Θεοῦ, τοὺς πάλαι τοῖς κτίσμασιν, Ἱεράρχα λατρεύοντας.

Ὁ νοῦς σου λαμπόμενος, ἐλλάμψει θείου Πνεύματος, λύει τῶν δαιμόνων τὴν ἀπάτην, καὶ πᾶσι νέμει Εὐαγγελίου τὸ φῶς· ὡς γὰρ Ἱεράρχης ἱερός, Ἀποστόλων γέγονας, ἐν τοῖς τρόποις ὁμόζηλος.

Θεοτοκίον.

Ἰάτρευσον Δέσποινα, νοσοῦσαν τὴν καρδίαν μου, πάθεσι πολλοῖς καὶ ἀκαθάρτοις, καὶ τῶν πταισμάτων μοι αἴτει ἄφεσιν, ὅπως καταδίκης φοβερᾶς, φύγω τὴν ἀπόφασιν, ἐν ἡμέρᾳ τῆς κρίσεως.

Καταβασία.

«Ὡς εἶδεν Ἡσαΐας συμβολικῶς, ἐν θρόνῳ ἐπηρμένῳ »Θεόν, ὑπ' Ἀγγέλων δόξης δορυφορούμενον, ὢ »τάλας! ἐβόα, ἐγώ· πρὸ γὰρ εἶδον σωματούμενον Θεόν, φωτὸς »ἀνεσπέρου, καὶ εἰρήνης δεσπόζοντα».

Ὠδὴ στ΄. Ἐβόησέ σοι.

Ὡς ἐπειράθη, τῆς σῆς ἰσχύος, τὸ πονηρὸν πνεῦμα Ὅσιε, τὸ ἐν τῷ ἀνθρώπῳ, θρηνῳδοῦν ἀπῴχετο τάχος.

Θείῳ σου λόγῳ, τῆς τοῦ καρκίνου, δεινῆς ἰάσω παθήσεως, τὴν νοσοῦσαν Πάτερ, προσπεσοῦσαν τῇ χάριτί σου.

Ἐκ φιλαργύρου, ἐρρύσω γνώμης, τῆς Ἡρακλείας τὸν πρόεδρον, ᾧ καὶ τῶν μελλόντων, τὰς ἐκβάσεις Πάτερ προεῖπας.

Ὄμβρους ὑψόθεν, τῇ γῇ κατάγεις· ὅθεν ἀγρὸς καὶ ἡ ἄμπελος, ἔδωκαν πολύχουν, τὸν καρπὸν Παρθένιε Πάτερ.

Θεοτοκίον.

Φωτὸς λυχνία, τοῦ ὑπερφώτου, Θεοχαρίτωτε Δέσποινα, φώτισον τὸν νοῦν μου, λαμπηδόσι τῆς χάριτός σου.

Δεύτερος. Τὴν θείαν ταύτην.

Μέγας ἐν θαύμασι γέγονας, Παρθένιε καὶ βίου λαμπρότητι, ὅθεν ᾐδέσθη σου, καὶ Κωνσταντῖνος ὁ μέγιστος, τῶν ἀρετῶν σου Πάτερ, τὰ προτερήματα.

Εἰς πᾶσαν γῆν ἐξελήλυθεν, ὁ φθόγγος τῶν θαυμάτων σου Ὅσιε· ὅθεν συνέτρεχον, οἱ δαιμονῶντες καὶ πάσχοντες, καὶ παρὰ σοῦ ὑγείαν, θᾶττον ἐλάμβανον.

Ναοὶ εἰδώλων ἐῤῥάγησαν, ἐντεύξει σου θεόφρον Παρθένιε, καὶ ὄμβροι ἄνωθεν, ἐπὶ τὴν γῆν κατηνέχθησαν, καὶ καρποφόρος ὤφθη, ἄρουρα ἄκαρπος.

Θεοτοκίον.

Ἱεροφθόγγων αἰνίγματα, Παρθένε Προφητῶν προεδήλωσαν, τὸν θεῖον τόκον σου, ὧν θεωροῦντες τὴν ἔκβασιν, ὑμνοῦμεν Θεοτόκε, τὰ μεγαλεῖά σου.

Καταβασία.

«Ἐβόησέ σοι, ἰδὼν ὁ Πρέσβυς, τοῖς ὀφθαλμοῖς τὸ σωτή»ριον, ὃ λαοῖς ἐπέστη· Ἐκ Θεοῦ Χριστὲ σὺ Θεός μου».

Κοντάκιον. Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Τῶν θαυμάτων εἴληφας, τὴν θείαν χάριν θεόφρον, ἱερὲ Παρθένιε, θαυματουργὲ θεοφόρε, ἅπαντα, πιστῶν τὰ πάθη ἀποκαθαίρων, πνεύματα, τῆς πονηρίας Πάτερ ἐλαύνων· διὰ τοῦτό σε ὑμνοῦμεν, ὡς μέγαν μύστην Θεοῦ τῆς χάριτος.

Ὁ Οἶκος.

Φῶς νοερὸν ἐκ τοῦ φωτός, Πατρὸς τοῦ προανάρχου, Υἱὲ Θεοῦ καὶ Λόγε, ὁ καταυγάζων πᾶσαν τὴν οἰκουμένην θεϊκῶς, φώτισόν μου τὰς φρένας, τὸν νοῦν καὶ τὸν λογισμόν, τοῦ ἀνυμνῆσαι σήμερον, τὴν φαιδρὰν ταύτην πανήγυριν καὶ σεμνοπρεπεστάτην, τοῦ Ὁσίου Παρθενίου· αὐτὸς γὰρ ἀληθῶς, ἐν γῇ θαυμασίαν διετέλεσε ζωὴν καὶ πολιτείαν· διὰ τοῦτο συνελθόντες, εὐφημοῦμεν αὐτόν, ὡς μέγαν μύστην Θεοῦ τῆς χάριτος.

Συναξάριον.

Τῇ ζ΄. τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Παρθενίου, Ἐπισκόπου Λαμψάκου, τοῦ Θαυματουργοῦ.

Στίχ. Ἀφῆκε τὸν χοῦν Παρθένιος Λαμψάκῳ,

Λαμπτῆρα πυρσεύσοντα φῶς αὐτοῦ μέγα.

Παρθένιος κατέδαρθε λαχὼν μακρὸν ἑβδόμῃ ὕπνον.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Λουκᾶ, τοῦ ἐν τῷ Στειρίῳ ὄρει τῆς Ἑλλάδος ἀσκήσαντος.

Στίχ. Ἔπλησε Λουκᾶς θαυμάτων τὴν Ἑλλάδα,

Ὃς οὐδὲ νεκρὸς παύεται τῶν θαυμάτων.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων χιλίων Μαρτύρων, καὶ τριῶν οἰκετῶν, καὶ τεσσάρων Προτικτόρων, τῶν ἐν Νικομηδείᾳ μαρτυρησάντων.

Στίχ. Πλῆθος βροτῶν πρὸς τρισὶν ὄντων χιλίων,

Ξίφει θανεῖν εἵλοντο τοῦ Χριστοῦ χάριν.

Τῇ αὐτῇ ἡμέρᾳ, οἱ ἅγιοι ἓξ Μάρτυρες, οἱ ἐκ Φρυγίας, πυρὶ τελειοῦνται.

Στίχ. Μὴ τὴν πυρὸς φρίξαντες ἰσχὺν ἓξ Φρύγες,

Τῇ τῶν Φρυγῶν γῇ πύργος εἰσὶν ἰσχύος.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου πατρὸς ἡμῶν Πέτρου τοῦ ἐν Μονοβάτοις ἀγωνισαμένου· καὶ τοῦ ἁγίου μάρτυρος Θεοπέμπτου, καὶ τῆς συνοδείας αὐτοῦ.

Στίχ. Ἀγῶνα τὸν μέγιστον ἀνύσας Πέτρος,

Ἐν οὐρανοῖς εἴληφε πάντιμον στέφος.

Στίχ. Καλῶς ἀθλήσας Θεόπεμπτος γεννάδας,

Σὺν τοῖς ἑαυτοῦ τὰ βραβεῖα λαμβάνει.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ ἐν Ἁγίοις πατρὸς ἡμῶν Ἀπρίωνος, Ἐπισκόπου Κύπρου.

Στίχ. Χριστὸς καλεῖ σε, σπεῦσον, Ἀπρίων ἴθι,

Πρὸς τὰ βραβεῖα τῆς ἄνω κληρουχίας.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου ἐνδόξου Νεομάρτυρος Γεωργίου τοῦ ἐκ χωρίου Ἀλικιανοῦ τῆς ἐπαρχίας Κυδωνίας Κρήτης καταγομένου, ἀθλήσαντος δὲ ἐν Κρήτῃ κατὰ τὸ σωτήριον ἔτος αωξζ´ (1867).

Στίχ. Ἀθλήσει γεώργιον καινὸν ἐδείχθης,
Κυρίῳ, Γεώργιε, ᾧ συναγάλλῃ.

Ἑβδομάτῃ Γεώργιος μελεϊσθεὶς Κυρίῳ ἔστη.

Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ´. Σὲ τὸν ἐν πυρί.

Ὅλην τὴν αὐγὴν τοῦ Πνεύματος, Πάτερ ὑποδεξάμενος, ἰαμάτων ἀπαστράπτεις χάριν ἄφθονον, παραλύτους συσφίγγων, καὶ δαιμόνων τὰ σμήνη, ἀποδιώκων μακράν, τῷ θείῳ λόγῳ σου.

Ῥήσεσι σεπτῶν χειλέων σου, δαίμονες φυγαδεύονται, καὶ τῆς τούτων κακουργίας ἐλυτρώθησαν, οἱ τῇ σῇ προστασίᾳ, προσελθόντες βοῶντες· Εὐλογητὸς ὁ Θεός, ὁ σὲ δοξάσας σοφέ.

Ὡς θεῖος ποιμὴν Παρθένιε, ὡς πλήρης θείου Πνεύματος, ἁλιέων ἐπευλόγησας τὰ δίκτυα, καὶ πλουσίαν τὴν ἄγραν, τῶν ἰχθύων κατέσχον, δοξολογοῦντες Χριστόν, τὸν ἐνεργοῦντα ἐν σοί.

Θεοτοκίον.

Γνώμῃ πονηρᾷ δεδούλωμαι, Παρθένε τῷ ἀλάστορι, ἀλλὰ σύ με τῆς αὐτοῦ κακίας λύτρωσαι, καὶ διόρθωσιν δίδου, τοῦ προτέρου μου βίου, Εὐλογημένη Ἁγνή, Θεοχαρίτωτε.

Δεύτερος. Ὁ διασώσας ἐν πυρί.

Ἀπαλλαγεῖσα ἡ γυνή, Πάτερ τοῦ καρκίνου τοῦ πάθους, τῇ σῇ ἐντεύξει πρὸς Θεόν, τὴν πολλήν σου ἀνύμνει χρηστότητα, δι᾽ ἧς πάντας Παρθένιε, εὐηργέτεις ὡς τῆς χάριτος οἰκονόμος.

Ἰσχὺν λαμβάνων ἐκ Θεοῦ, ὤλεσας δαιμόνων τὰ στίφη, καὶ ἐκ τῆς μάστιγος αὐτῶν, τοὺς πικρῶς τυραννουμένους ἀπήλλαξας, ἀνακράζων Παρθένιε· ὁ Θεὸς ὁ τῶν Πατέρων εὐλογητὸς εἶ.

Νεκροὺς ἐγείρων δι' εὐχῆς, καὶ τοὺς παραλύτους συσφίγγων, ὤφθης δαιμόνων ὀλετήρ, καὶ νοσούντων ἰατὴρ θείῳ Πνεύματι, θαυμαζόμενος Ἅγιε, παρὰ πάντων ὡς θεράπων Κυρίου μέγας.

Ὁ τῆς Λαμψάκου ποδηγός, καὶ φωτοειδέστατος στῦλος, τῆς Ἐκκλησίας ὁ φωστήρ, καὶ θαυμάτων πηγὴ ἡ ἀκένωτος, ἀνυμνείσθω Παρθένιος, ὡς πρεσβεύων τῇ Τριάδι ὑπὲρ ἁπάντων.

Θεοτοκίον.

Σωτῆρα τέξασα Χριστόν, σώσαντα φθορᾶς τοὺς ἀνθρώπους, καταφθειρόμενον ἀεί, μεθοδείαις τοῦ δολίου με Ἄχραντε, ἀπολύτρωσαι δέομαι, καὶ πρὸς τρίβον με κατεύθυνον σωτηρίας.

Καταβασία.

«Σὲ τὸν ἐν πυρὶ δροσίσαντα, Παῖδας θεολογήσαντας, »καὶ Παρθένῳ ἀκηράτῳ ἐνοικήσαντα, Θεὸν Λόγον »ὑμνοῦμεν εὐσεβῶς μελῳδοῦντες· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν »Πατέρων ἡμῶν».

Ὠδὴ η΄. Ἀστέκτῳ πυρί.

Εἰς πᾶσαν τὴν γῆν διεξῆλθεν, ὁ τῶν σῶν μεγίστων θαυμάτων Πάτερ φθόγγος· Ἀποστόλων γὰρ ἐξουσίαν, καὶ χάριν ὄντως ἔσχηκας, οἷα θεράπων Χριστοῦ γνησιώτατος, καὶ ἀρχιερέων, κανὼν καὶ θεῖος τύπος.

Ρημάτων πιστῶν ἁλιέων, Πάτερ ἐπακούσας ηὐλόγησας τὴν ἅλα, καὶ δαιμόνων ἡ πονηρία, λέλυται Παρθένιε· ἔνθεν τούτοις δαψιλῆ ἀπέδωκε, τὴν ἰχθύων ἄγραν, ὑμνοῦσί σου τὴν χάριν.

Ἀνοίξας κλεισὶ προσευχῶν σου, Πάτερ κεκλεισμένους οὐρανοὺς ὡς ὁ Ἠλίας, καὶ πληθὺς ὄμβρου κατελθοῦσα, γῆς αὔλακες Παρθένιε, κατὰ Δαβὶδ τὸν θεῖον ἐμεθύσθησαν, καὶ τοῖς ἀποροῦσι, καρπὸς πολὺς ἐδόθη.

Θεοτοκίον.

Σαρκὶ ἐκ γαστρός σου ἐτέχθη, Λόγος τοῦ Θεοῦ ἀναλλοιώτως ἀσυγχύτως, τὴν φθορὰν τὴν ἐκ τῆς κατάρας δέ, ἐξῆρε καὶ ἀνέβλυσε, πηγὴν εὐλογίας Ἁγνὴ καὶ χρηστότητος· ὅθεν σε ὑμνοῦμεν, ὡς τῶν καλῶν αἰτίαν.

Δεύτερος. Χεῖρας ἐκπετάσας.

Γνώσει διαλάμπων θεϊκῇ, Ἁγίῳ Πνεύματι, ἔγνως τὸ νόσημα, φιλαργυρίας τὸ κάκιστον, τοῦ ποιμένος Πάτερ Ὅσιε, τῆς Ἡρακλείας καὶ αὐτόν, τούτου ἀπήλλαξας, εὐλογεῖτε, πάντα τὰ ἔργα κραυγάζων τὸν Κύριον.

Ἔλαμψας ὡς ἄδυτος ἀστήρ, θαυμάτων λάμψεσι, σκότος βαθύτατον, τῶν παθῶν διώκων Ὅσιε, πονηρίας δὲ τὰ πνεύματα, τὴν ἐν σοὶ ἔφριττον ἰσχύν, καὶ πάντες ἔψαλλον. Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ῥήμασί σου θείοις γλυκασμόν, τῆς θείας χάριτος, στάζων Παρθένιε, ἰὸν ἐξαίρεις τοῦ ὄφεως, καὶ πικρίαν παθῶν ἅπασαν, ἀποδιώκεις ἀφ' ἡμῶν, ψαλλόντων Ἅγιε· Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἄνθραξ ἀνεδείχθης νοητός, τοῦ θείου Πνεύματος, Πάτερ Παρθένιε, καὶ πυρὶ τῶν σῶν δεήσεων, πονηρίας φλέγεις πνεύματα, καὶ τὰς καρδίας τῶν πιστῶν, πρὸς θεῖον ἔρωτα, διεγείρεις, τοῦ λαμπρῶς σε θαυμαστώσαντος Ὅσιε.

Θεοτοκίον.

Σάρκα ἐξ αἱμάτων σου ἁγνῶν, ὁ Ὑπερούσιος, λαβὼν δι' ἔλεος, σὲ προστασίαν ἀνέδειξε, τῶν πιστῶς δοξολογούντων σε, καὶ τοῦ σοῦ τόκου τὸ φρικτόν, Κόρη μυστήριον, ἀνυμνούντων, δι' οὗ κόσμος ἀρᾶς ἠλευθέρωται.

Καταβασία.

Αἰνοῦμεν εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

«Ἀστέκτῳ πυρὶ ἑνωθέντες, οἱ θεοσεβείας προεστῶτες »Νεανίαι, τῇ φλογὶ δὲ μὴ λωβηθέντες, θεῖον ὕμνον

»ἔμελπον· Εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον, καὶ ὑπερυ-
»ψοῦτε, εἰς πάντας τοὺς αἰῶνας».

Στιχολογοῦμεν τὴν τιμιωτέραν. Εἶτα ἡ θ´ τοῦ Ἁγίου.

Ὠδὴ θ´. Ἐν νόμῳ σκιᾷ καὶ γράμματι.

Μεγαλυνάρια πρὸς τό, Ἀκατάληπτόν ἐστι.

Ἀνυμνήσωμεν πιστοί, τὸν Παρθένιον ᾠδαῖς, ὡς Κυρίου μιμητήν, καὶ θαυμάτων ποταμόν.

Δοξασθεὶς παρὰ Θεοῦ, ὦ Παρθένιε λαμπρῶς, παθημάτων χαλεπῶν, ἀνεδείχθης ἰατήρ.

Τῷ σῷ λόγῳ τῷ σεπτῷ, τῶν δαιμόνων ὁ ἑσμός, δραπετεύει ἀληθῶς, Ἱεράρχα τοῦ Χριστοῦ.

Ὡς ἰάσω θαυμαστῶς, ἐκ καρκίνου τοῦ δεινοῦ, οὕτω φύλαττε ἡμᾶς, ἐκ τῆς τούτου προσβολῆς.

Τῆς Λαμψάκου ὁ ποιμήν, Ἑλλησπόντου δὲ φωστήρ, ἀνυμνείσθω παρ᾽ ἡμῶν, ὁ Παρθένιος φαιδρῶς.

Τοῦ ἐχθροῦ τὰς προσβολάς, Πάτερ λῦε καθ᾽ ἡμῶν, καὶ διάσωζε ἡμᾶς, τῶν αὐτοῦ ἐπιβουλῶν.

Ὡς προστάτης εὐσεβῶν, καὶ θαυμάτων αὐτουργός, πλήρου πάντων τὰς λιτάς, ὦ Παρθένιε σοφέ.

Ἰσχύϊ τοῦ θείου Πνεύματος, ὤφθης τοῖς δαίμοσι φοβερός, καὶ πᾶν νόσημα καὶ πάθος θεραπεύεις, λόγῳ σου σοφέ· διὸ πιστῶν αἱ χορεῖαι, ὡς Ἱεράρχην κλεινὸν ἀνευφημοῦμέν σε πιστῶς, ὦ Παρθένιε πανθαύμαστε.

Ἐκκλησίας στηριγμός, καὶ πιστῶν φωταγωγός, ἀνεδείχθης ἀληθῶς, ὦ Παρθένιε σοφέ.

Μαράνας σαρκὸς τὸ φρόνημα, πόνοις καὶ μόχθοις θείων πράξεων, ὡς ἐλαία ἐν αὐλαῖς ταῖς τοῦ Κυρίου, ἤνθησας σοφέ, καὶ ἀρετῶν ἐλαίῳ, καθιλαρύνεις πιστῶν, τὰς διανοίας καὶ ψυχάς, ἀνυμνούντων σε Παρθένιε.

Χάριν δίδου διαψιλῆ, τῆς θερμῆς σου ἀρωγῆς, τοῖς προστρέχουσι θερμῶς, τῇ πρεσβείᾳ σου σοφέ.

Οσίως Πάτερ ἱέρευσας, τῷ Παντοκράτορι καὶ Θεῷ, καὶ τοῖς θαύμασι πολλοὺς εὐεργετήσας, δρόμον τὸν καλόν, τετελεκὼς Ἱεράρχα, πρὸς αἰωνίους μονάς, Παρθένιε θαυματουργέ, μεταβέβηκας γηθόμενος.

Θεοτοκίον.

Ἡ τεκοῦσα ἐν σαρκί, τὸν Σωτῆρα τοῦ παντός, ῥῦσαί με πάσης φθορᾶς Θεοτόκε δυσωπῶ.

Ὑψίστου ἔμπνουν ἀνάκτορον, καὶ θρόνος θεῖος ὤφθης ὡς ἀληθῶς, τὸν τῶν ὅλων βασιλέα ἐν ἀγκάλαις, φέρουσα Ἁγνή· διὸ χειρῶν με τοῦ πλάνου, λύτρωσαί με δυσωπῶ, Θεογεννῆτορ Μαριάμ, ἵνα πόθῳ μεγαλύνω σε.

Δεύτερος. Λίθος ἀχειρότμητος.

Μεγάλυνον ψυχή μου, τὸν θεῖον Ἱεράρχην, Ἀρχιερέων κλέος, Παρθένιον τὸν μέγαν.

Ἰθυνας πρὸς τρίβους εὐθείας, τῆς σωτηρίας Ἱεράρχα, λόγοις σου καὶ πράξεσι θείαις, τὴν σοὶ λαχοῦσαν ποίμνην Παρθένιε· καὶ νῦν εἰς τὰ σκηνώματα, τῶν οὐρανῶν ἐπαναπέπαυσαι.

Μεγάλυνον ψυχή μου, τὸν βλύσαντα τῷ κόσμῳ, θαυμάτων θεῖα ῥεῖθρα, Παρθένιον τὸν θεῖον.

Μέγας ἐν τοῖς θαύμασιν ὤφθης, καὶ θαυμαστὸς ἐν Ἱεράρχαις, οἷα μαθητὴς τοῦ Σωτῆρος, καὶ τῆς ἀγάπης λειμὼν πανεύοσμος· διό σε μεγαλύνομεν, Ἀρχιερεῦ Χριστοῦ Παρθένιε.

Δόξα. Τριαδικόν.

Μεγάλυνον ψυχή μου, τὴν ἄναρχον Τριάδα, Πατέρα Λόγον Πνεῦμα, τὴν μίαν βασιλείαν.

Οἱ τῇ σῇ προστρέχοντες σκέπῃ, καὶ τὴν σὴν μνήμην ἐκτελοῦντες, πάσης ἐπηρείας δαιμόνων, καὶ πάσης νόσου Πάτερ, ῥυσθείημεν, ταῖς σαῖς πρεσβείαις Ἅγιε, πρὸς τὸν Σωτῆρα δυσωποῦμέν σε.

Καὶ νῦν. Θεοτοκίον.

Μεγάλυνον ψυχή μου, τὴν πάντων προστασίαν, καὶ κόσμου σωτηρίαν, Παρθένον Θεοτόκον.

Ὕδατος πηγὴ ζωηφόρου, ὤφθης τεκοῦσα Θεοτόκε, τὴν πηγὴν ζωῆς τὸν Σωτῆρα· ὅθεν ἐπόμβρησον τῇ καρδίᾳ μου, διψώσῃ ἐν τοῖς πάθεσιν, ἀθανασίας θεῖα νάματα.

Καταβασία.

Θεοτόκε ἡ ἐλπὶς πάντων τῶν Χριστιανῶν σκέπε, φρούρει, φύλαττε τοὺς ἐλπίζοντας εἰς σέ.

«Ἐν νόμῳ σκιᾷ καὶ γράμματι, τύπον κατίδωμεν οἱ πιστοί· »πᾶν ἄρσεν τὸ τὴν μήτραν διανοῖγον, ἅγιον Θεῷ· »διὸ πρωτότοκον Λόγον, Πατρὸς ἀνάρχου Υἱόν, πρωτοτοκούμενον Μητρί, ἀπειράνδρῳ, μεγαλύνομεν».

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Λαμψάκου ὁ παμμέγιστος, ποιμὴν καὶ περιβόητος, θαυματουργὸς Ἱεράρχης, τῆς τοῦ Χριστοῦ Ἐκκλησίας, τὸ Ἑλλησπόντου καύχημα, καὶ τῶν πιστῶν ἑδραίωμα, τιμάσθω νῦν Παρθένιος· ὑπὲρ τοῦ κόσμου γὰρ οὗτος, ἐξιλεοῦται τὸ θεῖον.

Ἕτερον. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Τὸ τῆς Λαμψάκου κλέος, καὶ ποιμενάρχης θαυμαστός, θαυματουργίαις ἐκλάμπων, πάσης λυτροῦσαι συμφορᾶς, Παρθένιος ὁ θεόφρων· ὃν εὐφημήσωμεν πάντες.

Ὅμοιον, τῆς Ἑορτῆς.

Ἐν ταῖς ἀγκάλαις ὡς βρέφος, ἐδέξατο ὁ Συμεών, τὸν Ποιητὴν τῶν ἁπάντων, καὶ ἀνεκραύγαζεν αὐτῷ· Ἀπόλυσόν με Οἰκτίρμον· ὅτι κατεῖδόν σε Σῶτερ.

Εἰς τοὺς Αἴνους.

Ἱστῶμεν στίχους δ΄. καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος δ΄. Ἔδωκας σημείωσιν.

Ἔδωκας Φιλάνθρωπε, πλουσίαν χάριν καὶ ἄφθονον, τῷ πιστῷ σου θεράποντι, Παρθενίῳ Δέσποτα· ὅθεν ἀναβλύζει, ῥεῖθρα ἰαμάτων, καὶ ἀποπλύνει τῶν παθῶν, καὶ νοσημάτων ἅπαντα βόρβορον, καὶ σύστημα ἀκάθαρτον, καταποντίζει τοῦ δράκοντος· οὗ λιταῖς ταῖς ψυχαῖς ἡμῶν, ἱλασμὸν δίδου πάντοτε.

Ἔλαμψας Παρθένιε, ὡς ἑωσφόρος ἀνέσπερος, ἐναρέτοις σου πράξεσι, καὶ θείαις δυνάμεσι, ξένων θαυμασίων, καὶ νόσους ἰᾶσαι, καὶ παραλύτους ἀνορθοῖς, καὶ πονηρίας διώκεις πνεύματα, ἀκάθαρτα ἐντεύξει σου, καὶ χορηγεῖς ἀγαλλίασιν, καὶ παθῶν ἀπολύτρωσιν, τοῖς πιστῶς σὲ γεραίρουσι.

Ψήφῳ θείου Πνεύματος, ποιμὴν Λαμψάκου γενόμενος, ἀσφαλῶς καθωδήγησας, διδαχαῖς καὶ πράξεσι, καὶ τοῖς θαυμασίοις, τὴν ποίμνην σου Πάτερ, ἐπὶ λειμῶνας τῆς ζωῆς, καὶ ἐνταλμάτων θείων ἐκπλήρωσιν· διὸ σὲ ἀντημείψατο, ἐπουρανίοις χαρίσμασιν, Ἰησοῦς ὁ Φιλάνθρωπος, καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Λόγῳ τῷ τῆς χάριτος, ὥσπερ ὑμνοῦντας Παρθένιε, νεκρωθέντας ἀνέστησας, καὶ πάθος ἰάτρευσας, χαλεπὸν καρκίνου, καὶ τὸν ἐπελθόντα, οἷα λυσσῶντα κατὰ σοῦ, ἐχθρὸν ὡς κύνα τῷ ἐμφυσήματι, αἰσχύνας ἀπενέκρωσας, οὗ τῆς κακίας ἀπάλλαξον, τῇ θερμῇ ἀντιλήψει σου, τοὺς τελοῦντας τὴν μνήμην σου.

Δόξα. Ἦχος πλ. β΄.

Ὁ τῶν θαυμάτων τὴν χάριν εἰληφώς, καὶ δι᾽ αὐτῶν καθελὼν ἐχθροῦ τὴν δύναμιν, Παρθένιε Ἱεράρχα, Λαμψάκου πρόεδρε, καὶ πάσης Ἐκκλησίας λύχνε πάμφωτε· ὁ τῷ λόγῳ πάθη ποικίλα ἰασάμενος, ἴασαι ἡμῶν τὰ συντρίμματα, τῆς ψυχῆς καὶ τοῦ σώματος, καὶ ῥῦσαι πειρασμῶν ἀδοκήτων, αἰτούμενος ἡμῖν τὸ θεῖον ἔλεος.

Καὶ νῦν. Ὁ αὐτός. Τῆς Ἑορτῆς.

Ὁ ἐν χερσὶ πρεσβυτικαῖς, τὴν σήμερον ἡμέραν, ὡς ἐφ' ἅρματος Χερουβίμ, ἀνακλιθῆναι εὐδοκήσας, Χριστὲ ὁ Θεός, καὶ ἡμᾶς τοὺς ὑμνοῦντάς σε, τῆς τῶν παθῶν τυραννίδος, ἀνακαλούμενος ῥῦσαι, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις.

Δίδοται καὶ Ἅγιον Ἔλαιον τοῖς ἀδελφοῖς, ἐκ τῆς κανδήλας τοῦ Ἁγίου ψαλλομένων τῶν Ἰδιομέλων τῆς Λιτῆς.

Δίστιχον.

Παρθένιε, δίδου μοι τῷ Γερασίμῳ,
Δύναμιν πατεῖν τὴν ἰσχὺν τοῦ Βελίαρ.



# ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ μακαρισμοί, καὶ ἐκ τῶν κανόνων
τοῦ Ἁγίου ἡ γ´ καὶ στ´ Ὠδή.

Ἦχος γ´. Ὠδὴ γ´. Ὁ ἐκ μὴ ὄντων.

Ἐν Ἱεράρχαις ἐδείχθης περιφανής, καὶ ποιμὴν θεόληπτος, τῆς Λαμψάκου Παρθένιε, καὶ θαυμάτων πέλαγος, τοῦ Παρακλήτου τῇ θείᾳ δυναστείᾳ.

Νόσων λυτροῦσα τῷ λόγῳ ὀδυνηρῶν, καὶ πάθος ἰάτρευσας, τοῦ καρκίνου τὸ κάκιστον· μέγας γὰρ ἐν θαύμασιν, ἀνεδείχθης τῷ κόσμῳ Ἱεράρχα.

Ἱερατεύων ἀμέμπτως τῷ Ποιητῇ, πιστῶν καταφύγιον, καὶ πασχόντων παράκλησις, Ὅσιε Παρθένιε, ὡς ἀληθὴς ποιμενάρχης ἀνεδείχθης.

Θεοτοκίον.

Ὡς πλατυτέρα Παρθένε τῶν οὐρανῶν, Θεὸν τὸν ἀχώρητον, ἐν κοιλίᾳ ἐχώρησας· ὅθεν κἀμὲ λύτρωσαι, στενοχωρίας παθῶν τῶν συνθλιβόντων.

Ἦχος ὁ αὐτός. Ὠδὴ στ´. Ἐβόησέ σοι.

Ὡς ἐπειράθη, τῆς σῆς ἰσχύος, τὸ πονηρὸν Πνεῦμα Ὅσιε, τὸ ἐν τῷ ἀνθρώπῳ, θρηνῳδοῦν ἀπώχετο τάχος.

Θείῳ σου λόγῳ, τῆς τοῦ καρκίνου, δεινῆς ἰάσω παθήσεως, τὴν νοσοῦσαν Πάτερ, προσπεσοῦσαν τῇ χάριτί σου.

Ὄμβρους ὑψόθεν, τῇ γῇ κατάγεις· ὅθεν ἀγρὸς καὶ ἡ ἄμπελος, ἔδωκαν πολύχουν, τὸν καρπὸν Παρθένιε Πάτερ.

Θεοτοκίον.

Φωτὸς λυχνία, τοῦ ὑπερφώτου, Θεοχαρίτωτε Δέσποινα, φώτισον τὸν νοῦν μου, λαμπηδόσι τῆς χάριτός σου.

Ἀπολυτίκιον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Ἑλλησπόντου τὸ κλέος καὶ Λαμψάκου τὸν πρόεδρον, Παρθένιον τὸν μέγαν Ἱεράρχην τιμήσωμεν· θαυμάτων γὰρ πηγάζει δωρεάς, καὶ παύει ἀσθενείας χαλεπάς, καὶ καρκίνου ἀπαλλάττει τῆς συνοχῆς, τοὺς εὐλαβῶς κραυγάζοντας· δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ, πᾶσιν ἰάματα.

Ἕτερον. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Τῷ μύρῳ τοῦ Πνεύματος, ποιμὴν Λαμψάκου ὀφθείς, τὴν θείαν ἐνέργειαν, παρὰ Θεοῦ δαψιλῶς, θαυμάτων ἐπλούτησας, δαίμονας ἀπελαύνειν, ἀσθενοῦντας ἰᾶσαι, νόσους ἀποδιώκειν, καὶ πληροῦν τὰς αἰτήσεις, Παρθένιε Ἱεράρχα, τῶν προσιόντων σοι.

Κοντάκιον. Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Τῶν θαυμάτων εἴληφας, τὴν θείαν χάριν θεόφρον, ἱερὲ Παρθένιε, θαυματουργὲ θεοφόρε, ἅπαντα, πιστῶν, τὰ πάθη ἀποκαθαίρων, πνεύματα, τῆς πονηρίας Πάτερ ἐλαύνων· διὰ τοῦτό σε ὑμνοῦμεν, ὡς μέγαν μύστην Θεοῦ τῆς χάριτος.

Ἀπολυτίκιον Ὁσίου Λουκᾶ τοῦ ἐν τῷ Στειρίῳ.

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Τῆς Ἑλλάδος τὸ κλέος τῶν Ὁσίων τὸ καύχημα, καὶ τὸν τοῦ Στειρίου φωστῆρα, καὶ οἰκήτορα Ὅσιον, τιμήσωμεν ᾀσμάτων ἐν ᾠδαῖς, Λουκᾶν τὸν θεοφόρον εὐσεβῶς· τῷ Χριστῷ γὰρ οἰκειοῦται διὰ παντός, τοὺς πίστει ἀνακράζοντας· δόξα τῷ δεδωκότι σοι ἰσχύν, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

Ἀπολυτίκιον Ἁγίου Νεομάρτυρος Γεωργίου
τοῦ ἐξ Ἀλικιανοῦ Κυδωνίας Κρήτης.
Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Τῶν πάλαι ἰσότιμος, πανευκλεῶν Ἀθλητῶν, ἐδείχθης Γεώργιε, ἐν τοῖς ἐσχάτοις καιροῖς, ἀθλήσας στεῤῥότατα· σῶμα γὰρ ἐκτμηθείς σου, δι᾽ ἀγάπην Κυρίου, ῥείθροις τῶν σῶν αἱμάτων, τοὺς πιστοὺς καταρδεύεις, ὑμνοῦντας Νεομάρτυς, τὴν θείαν σου ἄθλησιν.

Εἶτα τὸ τῆς ἑορτῆς Ἀπολυτίκιον. Ἦχος α΄.

Χαῖρε Κεχαριτωμένη Θεοτόκε Παρθένε· ἐκ σοῦ γὰρ ἀνέτειλεν ὁ Ἥλιος τῆς δικαιοσύνης, Χριστὸς ὁ Θεὸς ἡμῶν, φωτίζων τοὺς ἐν σκότει. Εὐφραίνου καὶ σὺ Πρεσβῦτα δίκαιε δεξάμενος ἐν ἀγκάλαις, τὸν ἐλευθερωτὴν τῶν ψυχῶν ἡμῶν, χαριζόμενον ἡμῖν καὶ τὴν Ἀνάστασιν.

Καὶ τὸ κοντάκιον τῆς ἑορτῆς. Ἦχος α΄.

Ὁ μήτραν παρθενικὴν ἁγιάσας τῷ τόκῳ σου καὶ χεῖρας τοῦ Συμεὼν εὐλογήσας ὡς ἔπρεπε, προφθάσας καὶ νῦν ἔσωσας ἡμᾶς, Χριστὲ ὁ Θεός. Ἀλλ᾽ εἰρήνευσον ἐν πολέμοις τὸ πολίτευμα, καὶ κραταίωσον βασιλεῖς, οὓς ἠγάπησας, ὁ μόνος φιλάνθρωπος.

## ΑΠΟΣΤΟΛΟΣ

Προκείμενον. Ἦχος α΄.

Στίχ. Τὸ στόμα μου λαλήσει σοφίαν.

Ἀκούσατε ταῦτα, πάντα τὰ ἔθνη.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.
(Κέφ. Ζ΄ 26-28. Η΄ 1-2).

Ἀδελφοί, τοιοῦτος ἡμῖν ἔπρεπεν Ἀρχιερεύς, ὅσιος, ἄκακος, ἀμίαντος, κεχωρισμένος ἀπὸ τῶν ἁμαρτωλῶν, καὶ ὑψηλότερος τῶν οὐρανῶν γενόμενος· ὃς οὐκ ἔχει καθ᾽ ἡμέραν ἀνάγκην, ὥσπερ οἱ ἀρχιερεῖς, πρότερον ὑπὲρ τῶν ἰδίων ἁμαρ-

τιῶν θυσίας ἀναφέρειν, ἔπειτα τῶν τοῦ λαοῦ· τοῦτο γὰρ ἐποίησεν ἐφάπαξ ἑαυτὸν ἀνενέγκας. Ὁ νόμος γὰρ ἀνθρώπους καθίστησιν ἀρχιερεῖς ἔχοντας ἀσθένειαν· ὁ λόγος δὲ τῆς ὁρκωμοσίας τῆς μετὰ τὸν νόμον, Υἱὸν εἰς τὸν αἰῶνα τετελειωμένον. Κεφάλαιον δὲ ἐπὶ τοῖς λεγομένοις· τοιοῦτον ἔχομεν Ἀρχιερέα, ὡς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν τοῖς οὐρανοῖς τῶν Ἁγίων λειτουργός, καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς, ἣν ἔπηξεν ὁ Κύριος, καὶ οὐκ ἄνθρωπος.

Ἀλληλούϊα. Ἦχος β΄.

Στίχ. Στόμα δικαίου ἀποστάξει σοφίαν.

Ὁ νόμος τοῦ Θεοῦ αὐτοῦ ἐν καρδίᾳ.

## ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Λουκᾶν (στ΄ 17-23).

Μεγαλυνάριον.

Χαίροις ὁ Λαμψάκου θεῖος ποιμήν, καὶ θαυμάτων βρύσις, καὶ ἀκένωτος θησαυρός· χαίροις ἀκαθάρτων, πνευμάτων ὁ διώκτης, καὶ τῶν νοσούντων ῥῶσις, Πάτερ Παρθένιε.

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος, Ἀλληλούϊα.



# ΕΚΛΟΓΗ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΙΕΡΑΡΧΗΝ ΠΑΡΘΕΝΙΟΝ ΛΑΜΨΑΚΟΥ

Ἦχος πλ. δ΄.

Τὴν οἰκουμένην, Ἀλληλούϊα.

Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη, ἐνωτίσασθε πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην, χαίροις ὁ τῆς Λαμψάκου ποιμήν, καὶ τοῦ Χριστοῦ θεράπων θερμότατος, Ἱεράρχα Παρθένιε, Ἀλληλούϊα.

Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν, χαίροις τοῦ Παρακλήτου δοχεῖον, καὶ τῶν θαυμάτων πηγή, Παρθένιε Πάτερ, Ἀλληλούϊα.

Δεῦτε τέκνα ἀκούσατέ μου, φόβον Κυρίου διδάξω ὑμᾶς, χαίροις ὁ πλείστοις θαύμασιν ἐκλάμψας, Παρθένιε Ὅσιε, καὶ τὸν Κύριον δοξάσας, Ἀλληλούϊα.

Ἰδοὺ τὰ χείλη μου οὐ μὴ κωλύσω, Κύριε σὺ ἔγνως, χαίροις Ἀρχιερέων καλλονή, καὶ ἀρετῶν κειμήλιον, Ἱεράρχα Παρθένιε, Ἀλληλούϊα.

Εὐηγγελισάμην δικαιοσύνην, ἐν Ἐκκλησίᾳ μεγάλῃ, χαίροις τῆς συμπαθείας κρουνός, καὶ τῆς πραότητος σκήνωμα, παμμάκαρ Παρθένιε, Ἀλληλούϊα.

Τὴν δικαιοσύνην σου οὐκ ἔκρυψα ἐν τῇ καρδίᾳ μου, χαίροις ὁ τῶν δαιμόνων διώκτης, Παρθένιε θεοφόρε, καὶ ἀσθενούντων ἰατὴρ συμπαθής, Ἀλληλούϊα.

Τὴν ἀλήθειάν σου καὶ τὸ σωτήριόν σου εἶπα, χαίροις παραδόξων πραγμάτων αὐτουργέ, ἐν τῇ δυνάμει τοῦ Πνεύματος, Ἱεράρχα Παρθένιε, Ἀλληλούϊα.

Πορευόμενος ἄμωμος, καὶ ἐργαζόμενος δικαιοσύνην, χαίροις Παρθένιε παμμακάριστε, τοῦ Παρακλήτου ὄργανον, Ἀλληλούϊα.

Διηγήσομαι τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ Ἐκκλησίας ὑμνήσω σε, χαίροις ἰατὴρ ὁ θαυμαστός, Παρθένιε Ὅσιε, τοῦ δεινοῦ καρκίνου, Ἀλληλούϊα.

Εἶπα τοῖς παρανομοῦσι μὴ παρανομεῖτε, χαίροις τῆς χρηστότητος εἰκὼν Παρθένιε, καὶ Ἐκκλησίας στήριγμα, Ἀλληλούϊα.

Καὶ τοῖς ἁμαρτάνουσι, μὴ ὑψοῦτε κέρας, χαίροις ὁ τοῖς ποικίλως πάσχουσι, φάρμακα παρέχων σωτήρια, Ἱεράρχα Παρθένιε, Ἀλληλούϊα.

Ὅλην τὴν ἡμέραν ἐλεεῖ καὶ δανίζει ὁ δίκαιος, χαίροις Παρθένιε Ἱεράρχα, τεθλιμμένων παράκλησις, ὡς τοῦ Θεοῦ θεράπων ἐνθεώτατος, Ἀλληλούϊα.

Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην, χαίροις οἰκονόμε τῆς χάριτος, καὶ τῶν ψυχῶν θεραπευτά, Ἱερομύστα Παρθένιε, Ἀλληλούϊα.

Καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται, χαίροις Ἀποστόλων μιμητά, Παρθένιε Ἅγιε, καὶ τοῦ Εὐαγγελίου μυσταγωγὸς θεόληπτος, Ἀλληλούϊα.

Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ, χαίροις ἐλαία κατάκαρπος, ἐν τῷ οἴκῳ τοῦ Θεοῦ, Ἱεράρχα Χριστοῦ Παρθένιε, Ἀλληλούϊα.

Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, Παρθένιε θαυματοφόρε, ῥᾶνον καὶ ἡμῖν, τῆς σῆς χάριτος τὴν δρόσον, εἰς ἴασιν ψυχῆς τε καὶ σώματος, Ἀλληλούϊα.

Μακάριοι οἱ κατοικοῦντες ἐν τῷ οἴκῳ σου, Ἱεράρχα Παρθένιε, πάσης θλίψεως ἀπάλλαττε, τοὺς εὐλαβῶς προσιόντας τῇ πρεσβείᾳ σου, Ἀλληλούϊα.

Εἰς τοὺς αἰῶνας τῶν αἰώνων αἰνέσουσί σε, θεοφόρε Παρθένιε, Ἀρχιερέων κανών, προστάτης ἔσο ἐν τῷ βίῳ, τοῖς πιστῶς τελοῦσι τὴν μνήμην σου, Ἀλληλούϊα.

Δόξα. Τριαδικόν.

Ἡ ἐν Μονάδι Θεότητος, Τρισυπόστατος οὐσία, Πάτερ Υἱὲ καὶ Πνεῦμα Ἅγιον, ῥῦσαι τὸν λαόν σου, πάσης ἀπειλῆς καὶ μάστιγος, ταῖς τοῦ Ἱεράρχου Παρθενίου δεήσεσι, καὶ δίδου ἡμῖν, ἱλασμὸν ἁμαρτιῶν, ὡς ἐλεήμων καὶ φιλάνθρωπος.

Καὶ νῦν. Θεοτοκίον.

Ἡ ἀποῤῥήτως κυήσασα, τὸν Ὑπερούσιον Λόγον, ἀλογίας τὸν κόσμον λυτρούμενον, Θεοτόκε Ἀειπάρθενε, πάσης ἀνάγκης καὶ θλίψεως, καὶ ἐπηρείας τοῦ ἀλλοτρίου, ἀσινεῖς ἡμᾶς διάσωζε, τῇ κραταιᾷ πρεσβείᾳ σου· σὺ γὰρ ἡμῶν προστασία, καὶ πρὸς σὲ ἀεὶ καταφεύγομεν.

# ΕΓΚΩΜΙΑ
# ΕΙΣ ΤΟΝ ΘΑΥΜΑΤΟΥΡΓΟΝ ΑΓΙΟΝ ΠΑΡΘΕΝΙΟΝ ΕΠΙΣΚΟΠΟΝ ΛΑΜΨΑΚΟΥ

*Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου.*

Στάσις α΄.

Ἦχος πλ. α΄. Ἡ ζωὴ ἐν τάφῳ.

Μακαρίζομέν σε, Ἱεράρχα Χριστοῦ, τῆς Λαμψάκου ὦ Παρθένιε καύχημα, καὶ ποιμένα καὶ φωστῆρα φαεινόν.

Μακαρίζομέν σε, ὦ θεράπον Χριστοῦ, θεοφόρε Ἱεράρχα Παρθένιε, ὡς θαυμάτων παραδόξων αὐτουργόν.

Κατ᾽ ἀλφάβητον.

Ἀπορρήτῳ λάμψας, ἀρετῶν φωτισμῷ, τῶν θαυμάτων ἀνεδείχθης θησαύρισμα, καὶ διώκτης τῶν δαιμόνων ἰσχυρός.

Βιοτὴν ἁγίαν, ἐκ παιδὸς ἐσχηκώς, ἀνεδείχθης Ἱεράρχης θεόληπτος, Ἐκκλησίας δὲ Παρθένιε λαμπτήρ.

Γνῶσιν θείαν ἔχων, διδαχῶν πρακτικῶν, ἀναβλύζεις θεῖα ῥεῖθρα Παρθένιε, ὡς τῶν θείων Ἀποστόλων μιμητής.

Δυνατὸς ἐν ἔργῳ, καὶ ἐν λόγῳ φανείς, ὡς θεράπων τοῦ Κυρίου Παρθένιε, κατεπτόησας δαιμόνων τὴν ἰσχύν.

Εκ Λαμψάκου Πάτερ, ὡς ἀστὴρ φαεινός, διαλάμπεις πανταχοῦ ἐν τοῖς θαύμασι, καὶ ἐλαύνεις τὴν ὁμίχλην τῶν παθῶν.

Ζωηφόρῳ λόγῳ, ἐκ νεκρῶν ἀνιστάς, νεκρωθέντα ἐπηρείᾳ τοῦ δράκοντος, τὸν πιστῶς καθυπουργοῦντά σοι σοφέ.

Η τῶν σῶν θαυμάτων, θεία χάρις σοφέ, πανταχοῦ διεβοήθη Παρθένιε, καὶ οἱ πάντες ἐμεγάλυναν Χριστόν.

Θείᾳ σου ἐντεύξει, ὑετὸν ἐπὶ γῆς, κατηγάγου Ἱεράρχα Παρθένιε, καὶ ἠρδεύθη ὁ πρὶν ἄκαρπος ἀγρός.

Ιεράρχης θεῖος, καὶ θαυμάτων κρουνός, καὶ παθῶν θεραπευτὴς πολλῶν πέφηνας, τῇ δοθείσῃ σοι πλουσίᾳ δωρεᾷ.

Καθαιρέτης Πάτερ, τῆς κακίας ὀφθείς, τὴν σὴν κλῆσιν τὰ ἀκάθαρτα πνεύματα, ἐπτοοῦντο ἀναλίσκον ὡσεὶ πῦρ.

Λυτρωθεῖσα Πάτερ, ἐκ καρκίνου δεινοῦ, ἡ γυνὴ ἡ προσπεσοῦσά σοι Ὅσιε, τὸν Σωτῆρα ἐμεγάλυνε Χριστόν.

Μυστηρίων θείων, οἰκονόμος φανείς, τῶν εἰδώλων τῆς ἀπάτης Παρθένιε, τὸ σὸν ποίμνιον ἐκάθηρας σαφῶς.

Νόσων ἀνιάτων, ἰατὴρ πεφηνώς, τῇ τοῦ Πνεύματος Παρθένιε χάριτι, περιβόητος ἐγένου πανταχοῦ.

Ξενοτρόπως Πάτερ, ἐνεργοῦσα ἐν σοί, ἡ τοῦ Πνεύματος Παρθένιε δύναμις, τῶν θαυμάτων σε ἀνέδειξε πηγήν.

Ο ποιμὴν ἐξέστη, Ἡρακλείας ἐν σοί, ὅτε τούτῳ τὰ κρυπτὰ ἀπεκάλυψας, καὶ ἰάθη ἐκ τοῦ πάθους τῆς ψυχῆς.

Πλήρης πέλων Πάτερ, οὐρανίου φωτός, τὸν ὡς κύνα κατὰ σοῦ ἐφορμήσαντα, ἀπενέκρωσας ἀρχέκακον ἐχθρόν.

Ρῦσαι πάσης βλάβης, καὶ παθῶν χαλεπῶν, Ἱεράρχα θεοφόρε Παρθένιε, τοὺς τελοῦντάς σου τὴν μνήμην εὐλαβῶς.

Σοφιστείας πάσας, τοῦ ἐχθροῦ καθελών, τὸ σὸν ποίμνιον σοφῶς καθωδήγησας, πρὸς τὴν τρίβον τῆς ζωῆς Πάτερ σοφέ.

Τῷ Χριστῷ ἀμέμπτως, ταπεινώσει πολλῇ, ἀληθῶς ἱερατεύων Παρθένιε, χάριν ἄφθονον ἐδέξω παρ᾽ αὐτοῦ.

Υψηλὸς τὸν βίον, ταπεινὸς δὲ τὸν νοῦν, ἀνεδείχθης Ἱεράρχα Παρθένιε, καὶ κανὼν ἀρχιερέων καὶ λαμπτήρ.

Φωτισμοῦ ἀῤῥήτου, πληρωθεὶς τὴν ψυχήν, πονηρῶν ἐξουσιῶν τὰ συστήματα, ἀπημαύρωσας Παρθένιε σοφέ.

Χαίρων ἐν ὑψίστοις, τὴν ἁγίαν χαράν, πάσης λύπης καὶ ἀνίας καὶ θλίψεως, ἀπολύτρωσαι Παρθένιε ἡμᾶς.

Δόξα. Τριαδικόν.

Ψάλλων σὺν Ἀγγέλοις, τῇ Τριάδι σοφέ, ᾆσμα ὄντως τὸ ἀσίγητον πρέσβευε, ὑπὲρ πάντων τῶν τιμώντων σε πιστῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ως Ὑψίστου Μήτηρ, καὶ Παρθένος Ἁγνή, Θεοτόκε πρὸς οὐράνιον ἔρωτα, ὕψωσόν μου τὴν καρδίαν ἐκ τῆς γῆς.

Αἴτησις καὶ ἐκφώνησις.

Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν καὶ ἐν ἁγίοις ἐπαναπαύῃ...

Στάσις β΄.

Ἦχος πλ. α΄. Ἄξιόν ἐστι.

Αξιόν ἐστι, μακαρίζειν σε τὸν Ἱεράρχην, τὸ λαμπρὸν τοῦ Πνεύματος σκήνωμα, ὦ Παρθένιε Λαμψάκου καλλονή.

Αξιόν ἐστι, μακαρίζειν σε τὸν θεοφόρον, Πάτερ Ἱεράρχα Παρθένιε, τῶν θαυμάτων τὴν ἀέναον πηγήν.

Κατ᾽ ἀλφάβητον.

Ανωθεν λαβών, ἐξουσίαν παρὰ τοῦ Κυρίου, κατὰ τῶν δαιμόνων Παρθένιε, κατεπάτησας τὴν δύναμιν αὐτῶν.

Βλέμματι νοός, τοῦ Χριστοῦ τὴν δόξαν θεωρήσας, μύστης τῶν ἀῤῥήτων Παρθένιε, ἀνεδείχθης πολιτείᾳ καθαρᾷ.

Γέρας ἀληθῶς, τῆς ἐν τῇ Λαμψάκῳ Ἐκκλησίας ὤφθης Ἱεράρχα Παρθένιε, καὶ λαμπτὴρ τοῦ Ἑλλησπόντου παμφαής.

Δένδρον εὐθαλές, τοὺς καρποὺς τοῦ Πνεύματος ἐκφέρων, ὤφθης Ἱεράρχα Παρθένιε, καὶ ἐκτρέφεις τὰς καρδίας τῶν πιστῶν.

Ἔχων πρὸς Χριστόν, παῤῥησίαν πλείστην Ἱεράρχα, τὸ καρκίνου πάθος ἰάτρευσας, γυναικὸς τῆς προσελθούσης σοι πιστῶς.

Ζήλῳ ἱερῷ, λαμπρυνόμενος εἰδώλων πλάνην, ὡς τῶν Ἀποστόλων ὁμότροπος, ἀπημαύρωσας Παρθένιε σοφέ.

Ἤρδευσας ἀγρόν, τὸν πρὶν ἄκαρπον ταῖς προσευχαῖς σου, καὶ καρπὸν πολύχουν ἀπέδωκε, οὐρανόθεν ὑετὸν καταγαγών.

Θαύμασι πολλοῖς, διαλάμπων θείᾳ ἐνεργείᾳ, νοσημάτων πλείστους ἀπήλλαξας, καὶ πασχόντων ἀνεδείχθης ἀρωγός.

Ἴθυνας καλῶς, τὴν ἐν τῇ Λαμψάκῳ Ἐκκλησίαν, Πάτερ Ἱεράρχα Παρθένιε, πρὸς λειμῶνας τῆς ζωῆς ἀειθαλεῖς.

Κύων ὡς λυσσῶν, ἐφορμήσας σοι ὁ παναλάστωρ, τῷ σῷ ἐμφυσήματι Ὅσιε, ἐνεκρώθη καὶ πεπάτηται εἰς γῆν.

Λάμψακος ἐν σοί, ἐπαγάλλεται Ἱερομύστα, καὶ ἡ Ἑλλησπόντου περίοικος, μακαρίζει σε Παρθένιε ἀεί.

Μέγας ἀρωγός, τῶν ἐν ταῖς ἀνάγκαις ἀνεδείχθης, καὶ τῶν θλιβομένων παράκλησις, ὡς θεράπων τοῦ Σωτῆρος ἱερός.

Νόμοις τοῦ Χριστοῦ, διατρέφων σου τὴν ποίμνην Πάτερ, ἤλασας ἀκάθαρτα πνεύματα, καὶ ἰάτρευσας νοσοῦντας χαλεπῶς.

Ξύλου τῆς ζωῆς, ἐν τοῖς οὐρανοῖς καταπολαύων, ἐκ θανατηφόρου ἀπάλλαξον, ἁμαρτίας τὰς ψυχὰς ἡμῶν σοφέ.

Ὁ θεοειδής, καὶ κλεινὸς θεράπων τοῦ Κυρίου, ὕμνοις ἀνυμνείσθω Παρθένιος, ὡς μεσίτης ἡμῶν μέγας πρὸς Θεόν.

Πάθη χαλεπά, καὶ πνευμάτων ἀκαθάρτων σμῆνος, ἤλασας τῷ λόγῳ σου Ὅσιε, καὶ ἐβράβευσας ὑγείαν τοῖς πιστοῖς.

Ῥῶσιν καὶ ἰσχύν, καὶ πταισμάτων ἄφεσιν ἐξαίτει, Πάτερ Ἱεράρχα Παρθένιε, τοῖς γεραίρουσι τὴν μνήμην σου πιστῶς.

Στήριγμα γενοῦ, ἐν κινδύνοις Πάτερ Ἱεράρχα, τοῖς τῇ σῇ πρεσβείᾳ προστρέχουσι, καὶ αἰτοῦσι τὴν θερμήν σου ἀρωγήν.

Τὰς νόσους τῆς ψυχῆς μου, καὶ σώματος τὰ πάθη, ἴασαι Ἱεράρχα.

Ὑψίστου ὢν θεράπων, ἀνύψωσον τὸν νοῦν μου, Παρθένιε τῶν κάτω.

Φωτίζεις τὰς ἐννοίας, τοῖς θαύμασί σου Πάτερ, τῶν σὲ ἀνευφημούντων.

Χαρᾶς ἐπουρανίου, ἀξίωσον ὦ Πάτερ, τοὺς σὲ ὑμνολογοῦντας.

Δόξα. Τριαδικόν.

Ψυχῆς μου τὴν ὀδύνην, Τριὰς Ὑπεραγία, ἴασαι δυσωπῶ σε.

Καὶ νῦν. Θεοτοκίον.

Ὡς σκέπην καὶ προστάτιν, τοῦ κόσμου σὲ ὑμνοῦμεν, Παρθένε Θεοτόκε.

Αἴτησις καὶ ἐκφώνησις.

Σὺ γὰρ εἶ ὁ βασιλεύς, τῆς εἰρήνης καὶ σωτὴρ τῶν ψυχῶν ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρί...

## ΕΥΛΟΓΗΤΑΡΙΑ

Ἦχος πλ. α΄.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με Παρθένιον ὑμνῆσαι.

Τῶν Ἀγγέλων τὰς τάξεις, ἐν σαρκὶ ἐμιμήσω, ἀρετῶν ἐπιδείξει, καὶ θαυμάτων τὴν ἰσχύν, ἐκ Θεοῦ ὡς ἐδέξω, νέμεις τοῖς πιστοῖς, ἰαμάτων χάριτας, ὡς ποιμὴν Ἐκκλησίας Πάτερ Παρθένιε.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με Παρθένιον ὑμνῆσαι.

Τί ὡς μύρα, δάκρυα προχέετε, ὦ θεόφρονες τῷ Ἱεράρχη; μεταστὰς γὰρ πρὸς Χριστὸν ἀνέδραμε, μεσιτεύων ὑπὲρ τῶν βοώντων· πρέσβευε ἀεί, τῷ Χριστῷ Παρθένιε, ἅπασι διδόναι πταισμάτων ἄφεσιν.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με Παρθένιον ὑμνῆσαι.

Λίαν θερμῶς, τὸν Χριστὸν ἐδόξασας, τῷ σῷ ἰσαγγέλῳ Πάτερ βίῳ· ὅθεν ὤφθης, θησαυρὸς ἀκένωτος πολλῶν θαυμάτων· παύεις γὰρ ἀεί, χαλεπὰ νοσήματα καὶ καρκίνου τὸ πάθος Παρθένιε.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με Παρθένιον ὑμνῆσαι.

Μυροφόροι καθάπερ, φιλεόρτων τὰ πλήθη, προσερχόμενοι ἐν τῷ ναῷ σου, τελοῦσι φαιδρῶς, τὴν ἁγίαν σου μνήμην· οἷς δίδου ἀεὶ Ἅγιε Παρθένιε, τὴν θερμήν σου βοήθειαν δεόμεθα.

Δόξα. Τριαδικόν.

Προσκυνοῦντες συμφώνως, εὐσεβεῖ διανοίᾳ, τὴν Ἁγίαν Τριάδα, σὺν Πατρὶ τὸν Υἱόν τε, καὶ τὸ Ἅγιον Πνεῦμα, εἴπωμεν πιστῶς· Βασιλεῦ Τρισάγιε, δίδου ἡμῖν πάντοτε τὰ ἐλέη σου.

Καὶ νῦν. Θεοτοκίον.

Ζωοδότην τεκοῦσα, τὸν Ὑπέρθεον Λόγον, ἐν σαρκὶ Θεοτόκε, τῆς ἀρχαίας κατάρας, τὸν Ἀδὰμ ἐλυτρώσω, πᾶσι δὲ ἡμῖν τοῖς σὲ μεγαλύνουσιν, αἰωνίαν ζωὴν Κόρη ἐπήγασας.

Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα, δόξα σοι ὁ Θεός. Ἐκ γ΄.

Αἴτησις καὶ ἐκφώνησις.

Ὅτι ηὐλόγηταί σου τὸ ὄνομα, καὶ δεδόξασταί σου ἡ βασιλεία τοῦ Πατρός...

Έπιμελεία:
Μαρίας Μελετίου - Μακρῆ
*Έλλης 9, 152 36 Νέα Πεντέλη*
*Τηλ. 210 8049866*

Επιμέλεια - Εκτύπωση - Βιβλιοδεσία:

**ΠΑΠΑΝΙΚΟΛΑΟΥ Α.Β.Ε.Ε.**
γραφικές τέχνες - χωροσυνθέσεις - διαδίκτυο
ΑΣΚΛΗΠΙΟΥ 80 - 114 71 ΑΘΗΝΑ
ΤΗΛ. 210-3624.728, 210-3609.342, 210-3601.605
FAX 210-3601.679
www.papanikolaou.gr
info@pananikolaou.gr



**ΔΙΑΝΕΜΕΤΑΙ ΔΩΡΕΑΝ**